in loquuntur mendaciū. Virū

nū et dolosū abhomina

dñs: ego autē in multitudi

die tue Introibo ī domū

rabo ad templū sanctum

imore tuo Dñe deduc me

cia tua ꝓpter īimicos meos:

n conspectu tuo viā meam

non est in ore eoꝝ veritas: cor

nū est Sepulchrū patens est

eoꝝ. linguis suis dolose age

udica illos deus Decidant

tationibꝫ suis. scđm multi

impietatū eoꝝ expelle eos:

itauerūt te dñe Et letentur

qui sperant in te: in eternum

ūt et habitabis in eis Et

B. 6. 264.
Nb! ⇒

Isocrates

Mit Kaufvermerk:
Matthias III. v. A.
(1644–70)
v. J. 1659.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0002-1

Handschrift. Psalm 5:

Vers 7: (Du bringest) die Lügner um
„qui loquuntur mendacium

bis Vers 12: Lass sich freuen alle,
die auf dich trauen; ewiglich
lass sie rühmen, denn du be-
schirmest sie. .....
Et laetentur omnes qui sperant
in te: in aeternum exultabunt
et habitabis in eis. Et .....

Text: unteren Deckel
s. dort auf
dem Vorsatz

Isocrates

[Orationes, Teil ausg.
griech. u. lat.]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0004-2

ISOCRATIS ORATIONES TRES,

I. Ad DEMONICUM.
II. Ad NICOCLEM.
III. NICOCLES.

Cum

PLUTARCHI CHÆRONEI

PÆDAGOGIA,

Seu

DE LIBERORUM INSTITUTIONE LIBELLO.

è

GRÆCO IN LATINUM VERBOTENUS IN GRATIAM TYRONUM LINGUÆ GRÆCÆ TRANSLATÆ.

Editio nova, à mendis quàm plurimis, quæ in priores editiones irrepserant, repurgata.

QUEDLINBURGI,
Impensis & Characteribus JOH. OCKELII.
Anno M DC XLVII.

Matthias ab Alvensleve, [illegible] comparatus pro 8 [illegible]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0005-7

LEHNS-BÜCHEREI IN ERXLEBEN

LEHNS-BÜCHEREI IN ERXLEBEN

ISOCRATIS AD DEMONICUM ORATIO adhortatoria.

IN multis quidem ô Demonice multum distantes inveniemus & bonorũ sententias, & improborum mentes: longè verò maximum discrimen deprehenderũt in consuetudinibus ad invicem. Hi enim amicos pręsentes solûm honorant: Illi v. etiam longè absentes amãt. Et improborum quidem consuetudines parvum temp⁹ dissolverit, bonorum verò amicitias neq; sanè omne ævum deleverit. Existimans igitur de-

ΙΣΟΚΡΑΤΟΥΣ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΛΟΓΟΣ παραινετικός.

ἘΝ πολλοῖς μὲν ὦ Δημόνικε πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας. πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς συνηθείαις πρὸς ἀλλήλους. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν. οἱ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. καὶ τῶν φαύλων μὲν συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. ἡγούμενος οὖν πρέπειν

cere glorię appetentes, & institutionē desiderantes, bonorum, non verò malorum esse imitatores: Misi tibi hanc orationem donum: signum quidem inter nos amicitiæ, indicium verò cum Hipponico societatis. Decet enim liberos, sicut substantiæ, ita etiam amicitiæ paternæ hæredes fieri. Video autem & fortunam nos adjuvantem, & præsens tempus nobiscum esse. Tu enim institutionem expetis, ego verò alios instituere aggredior, & tu quidem adhuc sapientiæ studes, ego verò amantes sapientiā dirigo. Quicunq; igitur ad suos amicos

τῆς δόξης ὀρεγομένους τῆς παιδείας ἀντιποιουμένους τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς. ἀπέσταλκά σοι τὸν λόγον δῶρον. τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. πρέπει γὰρ τοὺς παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. Σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ ἄλλους παιδεύειν ἐπιχειρῶ, καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φι-

λους

adhortatorias orationes conſcribunt, bonum quidem opus manibꝰ tractant, non autē circa optimū philoſophiæ tempꝰ conterunt. Quicunque verò juvenibꝰ conſulunt, non per quæ gravitatem in ſermonibus exerceant, ſed quo ad mores boni evadere videantur, tantò magis quam illi auditoribus proſunt, quantum illi quidem ad ſermonem tantùm adhortantur, hi verò etiam mores ipſorum dirigunt. Proptereà nos non exhortationem invenientes, ſed admonitionē ſcribentes futuri ſumꝰ tibi cōſulere, quę deceat juvenes expetere & quibꝰ operibus abſtinere,

λους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περὶ γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν. οἱ δὲ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νέους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ

qualibus quibusdā hominibus conversari & quomodo suā vitā instituere. Quicuq; n. vitę hanc viam ambulaverunt, hi soli virtutem consequi legitimè potuerunt. Qua nulla possessio magis honesta, neq; firmior est. Pulchritudiem n. aut tempꝰ cōsumſcrit, aut morbus tabefecerit. Divitię verò malitiæ magis, ac honestatis servus sunt, licentiam quidem socordiæ præparans, ad voluptates verò juvenes advocans. Robur quidem cum Sapientia profuit, ābsque verò hac plus habentibus nocuit. Et corpora quidem exercentium ornavit, animę verò curas obtene-

ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. κάλλος μὲν γὰρ ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. πλοῦτος δὲ κακίας μᾶλλον, ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε, καὶ σώματα τῶν ἀσκούντων μὲν ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελεί-

αις

bravit: virtutis verò possessio quibus incorruptè mentibus succreverit, sola consenescit, divitiis verò melior, utilior verò nobilitate est.

Aliis impossibilia possibilia constituens: multitudini verò formidabilia audacter suscipiens, & desidiam quidem vituperationē laborem verò laudem existimant. Facilè verò hoc ediscere ex Herculis certaminbus, & Thesei operibus, quibus morum præstantia tantum famæ bonæ signum operibus adjecit, ut neque omne tempus possit oblivionem face-

αις ἐπεσκότησεν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις ὅις ἂν ἀκιβδήλως ἐν ταῖς διανοίαις συναυξηθῆ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί.

Τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστῶσα; τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. ῥάδιον δὲ τοῦτο καταμαθεῖν ἔκ τε τῶν ἡρακλέους ἄθλων, καὶ τῶν θησέως ἔργων, ὅις ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποι-

re ab illis effecto-
rum. Verùm enim
verò & patris insti-
tuta recordatus do-
mesticum, & bonum
habebis exemplum
à me dictorum. Ne-
que enim negligens
virtutem, neq; socors
existens transegit vitã,
sed corpus quidem la-
boribꝰ exercebat, ani-
ma verò pericula subi-
it, neque divitias in-
tempestivè amavit,
sed fruitus est præ-
sentibus bonis tan-
quam mortalis, curam
verò gessit existentium
tanquam immortalis.
Neq; humiliter perse-
quebatur suam vitam,
sed amans honestatis
erat & magnificus & a-
micis communis; Et
magis admirabatur si-

ἤσῃ τῶν ἐκείνοις πε-
πραγμένων. οὐ μὴν, ἀλ-
λὰ καὶ τὰς τοῦ πατρὸς
προαιρέσεις ἀναμνη-
σθεὶς οἰκεῖον καὶ καλὸν
ἕξεις παράδειγμα τῶν
ὑπ' ἐμοῦ λεγομένων.
οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀ-
ρετῆς, οὐδὲ ῥαθυμῶν
διετέλεσε τὸν βίον, ἀλ-
λὰ τὸ μὲν σῶμα πό-
νοις ἐγύμναζε, τῇ δὲ
ψυχῇ τοὺς κινδύνους
ὑπέμεινε, οὐδὲ τὸν
πλοῦτον παρακαίρως ἠ-
γάπα, ἀλλὰ ἀπήλαυε
μὲν τῶν παρόντων ἀγα-
θῶν ὡς θνητὸς, ἐπεμε-
λεῖτο δὲ τῶν ὑπαρ-
χόντων ὡς ἀθάνατος.
οὐδὲ ταπεινῶς διῴκει
τὸν ἑαυτοῦ βίον, ἀλλὰ
φιλόκαλός τε ἦν καὶ
μεγαλοπρεπὴς, καὶ
τοῖς φίλοις κοινός. καὶ
μᾶλλον ἐθαύμαζε τοὺς

bi studentes, quam generi convenientes. Estimabat enim esse ad societatem multò meliorem naturam lege & morem genere, & propositũ necessitate. Deficeret autem nos omne tempus, si omnes actiones enumeraverimus, sed evidentiam eorum aliis occasionibus manifestabimus. Specimen verò Hipponnici naturæ nunc produximus, ad quod decet vivere te, tanquã ad exemplum, legem quidẽ, & illius morem arbitrantem, imitetorẽ verò & æmulatorem paternæ virtutis factum. Turpe enim pictores quidem effingere bona animalium: liberos

περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας. ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης. Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα, ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν. Δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν, τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γινόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων; τοὺς

verò non imitari bonos parentum. Existima verò nullum pugilum ita decere adversus adversarios se exercere, ut tibi videre, ut similis Patris studiis fias. Sic verò sententiam impossibile statuere non multis & bonis præceptis repletum. Corpora enim mediocribus laboribus, anima verò bonis sermonibus crescere solet. Quapropter ego tibi tentabo breviter proponere, per quæ sanè mihi videaris studij plurimum ad virtutem addere & apud alios homines omnes benè audire. Primum igitur piè

δὲ παῖδας μὴ μιμεῖσθαι σπουδαίους γονέων. ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι τὸν μὴ πολλῶν, καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἂν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι καὶ παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν εὐδοκιμῆσαι. Πρῶτον μὲν οὖν

εὐσε-

tracta quæ circa Deos sunt, non tantùm sacrificans, sed etiam jurijurando immanens. Illud n. pecuniarum abundantiæ signum, hoc verò morum honestatis indicium. Honora Deos semper quidem, maximè v. cum civitate, ita n. videberis simul Diis sacrificare, & legibus immanere. Talis existas erga Parentes, quales optaveris erga te esse tuos liberos. Exerce circa corpus exercitia, non ad robur, sed ad sanitatem conducentia, hoc verò consequeris, si cesses à laboribus adhuc laborare potens. Neque risum protervum, neq; sermonem

εὐσέβει τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο μὲν γὰρ τῆς χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως, οὕτω γὰρ δόξεις ἅμα τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν. τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι, τοὺς σαυτοῦ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγῃς τῶν πόνων, ἔτι πονεῖν δυνάμενος. μηδὲ γέλωτα προπετῆ, μηδὲ λόγον

cum jactantia recipe, hoc enim insipidum, illud stultum. Quæ facere turpe, hæc existima neq; dicere esse honestum. Assuefac te esse non torvum, sed modestum: Per illud enim pertinax, per hoc verò sapiens esse videberis. Existima maximè te decere munditiē, verecundiā, temperantiā, his n. omnibus videntur contineri juvenum mores. Nunquam, aliquid mali faciens spera latiturum. Etenim licet alios latueris, tibi ipsi eris conscius. Deum time, parentes ama, amicos reverere, legibus obtempera, voluptates sectare cum gloria: delectatio enim cum ho-

μετὰ θράσους ἀποδέχου. τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μήτε λέγειν εἶναι καλόν. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν. δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο δὲ σοφὸς εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. ~~μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας, ἔλπιζε λήσειν καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς σεαυτῷ γε συνειδήσεις.~~ τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου. τοῖς δὲ νόμοις πείθου. τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης. τέρψις γὰρ σὺν τῷ καλῷ

nesto quidem optimũ, absq; hoc v. pessimum. Devita calumnias, licet falsæ sunt, vulgus enim veritatem ignorat, gloriam verò respicit. Omnia videre facere, neminem celans; licet enim continuo occultes, postea apparebit. Maximè autẽ benè audies, si appareas, hæc non faciens, quæ aliis facientibus reprehenderes. Si eris amans discendi, eris multa disciturus. Quæ cognovisti, custodi curis: Quæ verò non didicisti, assume scientiis. Aeque enim turpe est, audientem utilem sermonem non discere, & datum aliquod bonum ab ami-

λῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον. εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν, οἱ γὰρ πολλοὶ τὴν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων, καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο, ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως γὰρ αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ

τῶν

cis non accipere. Consume in vita otium in orationes audiendi amorem. Sic enim aliis difficulter inventa, accidet tibi facilè discere. Existima auditorum præceptorũ multa multis esse opibus meliora. Hæc enim citò deficiunt, illa verò omne tempus manent. Sapientia enim sola possessionum immortale. Non sis piger longam viam ambulare, ad docere aliquid utile annunciatos. Turpe enim quidem mercatores tanta maria experiri, gratia majorem faciendi rem familiarem, juvenes verò non in terra

τῶν φίλων μὴ λαβεῖν. καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν. οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω. τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ

γῆν

itinera sufferre ad meliorem constituendam suam mentem. Moribus quidem fias comis, sermone verò affabilis. Est verò comitatis quidem alloqui obvios, affabilitatis verò sermonibus eos convenire. Suaviter quidē affectus sis erga omnes, utere v. optimis. Sic enim his quidē non invisus eris, illis autem amicus factus. Colloquia non crebra fac iisdem, neque longa de iisdem. Satietas enim omnium. Exerce teipsum laborib⁹ voluntariis, ut possis & involuntarios perferre. A quibus vinci animam turpe, horum

γὴν πορείας ὑπομένειν ἐπὶ τὴν βελτίω κατάστασιν τὴν ἔσω τῆς διανοίας. τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς ἐντυγχάνειν. ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν. πλησμονὴ γὰρ ἁπάντων. γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων

ἐγ

continentiam exerce omnium, lucri, iræ, voluptatis, tristitiæ. Eris autem talis, si lucra esse existimes, per quæ benè audias, sed non per quæ ditior fias. In ira verò similiter te præbeas erga delinquentes, quales erga te ipsum delinquentem alios te habere contenderis. In jucundis, si turpe duxeris servis imperare, sed voluptatibus servire: in tristibus verò si aliorum infortunia respexeris, & teipsum, tanquã mortalis existens recordeteris. Magis serva sermonum quam pecuniarum deposita. Decet enim viros bonos mores juramento fide

ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. τῇ δὲ ὀργῇ αὖ παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρτάνοντα, καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δὲ ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σαυτὸν, ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἄνδρας ἀγαθοὺς τρόπον ὅρκου

πιστό-

digniores videri præbentes. Decere malis puta non habere fidem, tanquam bonis credere. De arcanis nemini dic, nisi similiter conducat actiones tacere, & tibi dicenti, & illis audientibꝰ. Iuramentum oblatũ suscipe propter duas causas, aut teipsum turpi causa absolvens, aut amicos ex periculo servans. Pecuniarum verò gratia nullũ Deũ adjuraveris, neq; si rectè jurare velis. Videberis enim his quidẽ pejerare, illis v. amans pecuniæ esse. Neminẽ amicum fac priusquã exploraveris, quomodo usus sit prioribus amicis. Spera enim eum

πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν τοῖς πονηροῖς ἡγοῦ ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀρρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι, καί σοι τῷ λέγοντι, καὶ ἐκείνοις ἀκούουσιν. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ τοὺς φίλους ἐκ κινδύνων διασώζων. Χρημάτων δὲ ἕνεκα μηδένα θεὸν ὀμόσῃς, μηδ᾽ ἂν εὐορκεῖν μέλλῃς. Δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς προτέροις φίλοις. ἔλπιζε γὰρ αὐτὸν

etiam erga te fieri talem, qualis & erga illos fuit. Tardè quidem amicus fias, fact⁹ autem, tenta permanere. Aequè n. turpe(est)nullum amicum habere,& multos socios mutare. Neque cum damno tenta amicos,neque inexpertus esse sociorum velis. Hoc verò facies, si non egens egere simules. De dicendis tanquam arcanis communica,õ consequens n. nihil damni accipies,consequens v. magis mores eorum scies. Proba amicos ex circa vitam infortunio, & in periculis communitate. Aurum enim igne probamus,

καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος τὸ δεῖσθαι προσποιῇ. περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοίνου, μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσῃ, τυχὼν δὲ μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. Τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν,

amicos verò in infortuniis cognoscimus. Sic autem optimè uteris amicis, si non expectes eorum preces: Sed teipsum annuncians in occasionibus ipsis succurras. Similiter turpe existima inimicorum vinci maleficiis; & amicorum beneficentiis superari. Recipe sociorum non tantùm in malis dolentes; sed & in bonis tuis non invidentes. Multi enim afflictis amicis condolent; benè autem facientibus invident. Absentium amicorũ recordare ad pręsentes, ut videaris neq; hos absentes parvifacere.

μὲν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις. ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων εὐεργεσίαις ἡττᾶσθαι. ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. Πολλοὶ μὲν γὰρ ἀτυχοῦσι φίλοις συνάχθονται, καλῶς ἢ πράττουσι φθονοῦσι. τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

Esse velis circa vestitum amans honestatis, non verò formæ studiosus. Est n. amantis honestatem quidem mpgnificum, lascivè se amantis v. supervacaneum. Ama præsentium bonorum non superfluam possessionem, sed mediocrem fruitionem. Despice Divitiis studentes. Vti verò existentibus non potentes. Similiter enim illi patiuntur, ac si quis equum possederit pulchrum malè equitare sciens. Tenta divitias, usus & possessiones præparare. Sunt autem usus quidem frui scientibꝰ, possessiones

εἶναι βούλου τὰ περὶ ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ ὑπερβάλλουσαν τὴν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων. παραπλήσιον γὰρ οἱ πάσχουσιν, ὥσπερ ἂν, εἴ τις ἵππον κτήσαιτο τὸν καλὸν κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα παρασκευάζειν. Ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα

δὲ

verò uti potentibus. Honora existentem substantiam duorum gratia, & magnam mulctam solvendi, & amico bono adversa fortuna utenti succurrendi. In v. reliqua vita nihil superabundanter, sed mediocriter ipsam ama, ama quidem pręsentia, quęre autē meliora. Nemini calamitatem exprobres, cōmunis n. fortuna, & futurū invisibile. Bonis benefac; Bon⁹ n. thesaurus apud virum honestum gratia debita. Malis benefaciens similia patieris alienos canes nutrientibus. Illi enim dantes, tanquam quoslibet allatrant, & mali ju-

δὲ τοῖς χρῆσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, καὶ μεγάλην ζημίαν ἐκτῖσαι, καὶ τῷ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι, πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσῃς, κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Τοὺς ἀγαθοὺς εὐποίει; καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς εὐποιῶν ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν. ἐκεῖνοί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠ-

vantes tanquam nocentes injuria afficiunt. Oderis aſſentantes, tanquam decipientes; utrique enim crediti credentes lædunt. Si receperis amicorum in peſſimo tibi gratificantes, non habebis in vita propter optimum iraſcentes. Fias erga appropinquantes familiaris, ſed non gravis: Horum enim faſtuoſum tumorem vix ſanè ſervi toleraverint. Illorum a. familiarem morem omnes ſvaviter ſufferunt. Familiaris autem eris, non contentioſus exiſtēs, neq; moroſus, nec erga omnia amās contētiones, ne-

φελοῦντας ὥσπερ βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας; ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. Τῶν μὲν γὰρ ὑπερηφανικὸν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν; Τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς

τὰς

que erga conversantium iras asperè occurrens, neque si injustè irascentes existant, sed irascenribus quidem ipsis cedens, quiescentibus autem iram reprehendens, neque ridiculis studens, neque circa seria ridiculis gaudens. Intempestivum n. ubique molestnm. Neque gratias ingratè gratificans, quod patiuntur multi facientes quidē benè, gravatim autem amicis inservientes, neque amans causarum existens, grave n. neque amans reprehensiones, incitativū enim. Maximè quidē aversare inter pocula conventus. Si verò aliquando tibi

τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων, μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα γελοίοις χαίρων. Τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. Μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοὶ ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες, μηδὲ φιλαίτιος ὤν, βαρὺ γάρ. μηδὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας, ἂν δὲ ποτέ σοι συμπέ-

accidat tempus, surge ante ebrietatem, quando enim mens à vino currupta est, similia patitur curribus aurigas dejicientibus, illi enim inordinatè feruntur, destituti directoribus, & anima multùm errat corrupta mente. Immortalia quidē sapies magnanimus existendo, mortalia verò mediocriter existentibus fruendo. Existima institutionem tantò majus bonum esse inscitia, quantum quidem alia improba omnes lucrū facientes, faciunt. Hæc verò sola & punivit habentes.

τῇ καιρὸς, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν, ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτάνοντα τῶν εὐθυνόντων, ἥτε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας.

Sæpè enim quem sermonibus contristarunt, huic rebus pœnam dederunt. Qvos vis facere amicos, bonũ aliquid dic de illis ad annunciantes, principium enim amicitiæ laus, inimicitiæ verò vituperatio. Consultans exempla fac præterita futurorum. Obscurum enim ex manifesto celerrimam habet cognitionem. Consulta quidẽ tardè, perfice autem celeriter decreta. Existima optimam esse à Deo bonã fortunã, à v. nobis ipsis bonum consilium. De quibꝰ vereris liberè loqui, velis autẽ aliquibꝰ amicorũ cõmunicare:

πολλάκις γὰρ ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε, περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας, ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος. βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν εὐβουλίαν. περὶ ὧν αἰσχύνῃ παρρησιάσασθαι, βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι;

Vtere sermonib⁹, tanquam de alieno negocio, ita enim illorum sententiam senties, & teipsum non apertum facies. Quando de tuis futurus es aliquem consulere, vide prius, quomodo sua administravit, Malè enim consultus in propriis, nunquam benè consulet de alienis. Ita verò maximè ad consulendum inciteris, si calamitates ex temeritate respexeris. Etenim sanitatis maximam curam habemus, quando tristitias ex infirmitate recordamur. Imitare regum mores, & sectare eorum stu-

χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος, οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. ὅταν δ' ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον, πῶς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν, ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας. καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτη-

dia, videberis enim ipsos approbare & æmulari, ut tibi accidat apud multitudinem magis benè audire, & in his benevolentiam firmiorem habere. Obtempera quidē & legibus à regibus positis. Firmissimam verò legem existima illorum mores. Sicut enim in Democratia subditum populum decet colere, sic & in Monarchia habitantem Regem decet admirari. In imperium constitutus nullo utere malo ad administrationes, quæ n. ille deliquerit, tibi culpas imponent. Ex publicis curis discede non

τηδεύματα, δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν. ὥστε σοι συμβήσεται παρὰ τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις. ἰσχυρότατον δὲ νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν. οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν. εἰς ἀρχὴν καταστάθεις μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις, ὧν γὰρ ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ

πλου-

ditior, sed gloriosior. Multis enim pecuniis melior apud multitudinem laus. Nulli malo negotio neque adsis, neque Patronus sis. Videberis enim & ipse hæc facere, in quibus sanè aliis facientibus succurras. Præpara teipsum plus habere quidem potentem, sustine verò ęquale habere, ut videaris appetere justitiam, nõ per infirmitatem, sed per mansuetudinē. Magis suscipe justam paupertatē, quàm divitias injustas. Tantò n. melior justitia opib⁹, quantò hæ viventib⁹ solùm prosunt, illa verò mortuis gloriam præparat. Et illarum qui-

πλουσιώτερος, ἀλλ' ἐνδοξότερος. Πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει. δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον. Τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὀφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. κἀκείνων μὲν

τοῖς

dem cõpotes ſunt mali. Hanc v. improbis impoſſibile acquirere. Neminem æmulare ex injuſtitia lucrantum, ſed magis recipe cum juſtitia punitos, juſti enim injuſtis ſi in nullâ aliare præcellunt, tantum ſpebus bonis ſuperant. Omnium quidem curam gere circa vitam. maximè verò tuam ſapientiam exerce. Maximum n. in minimo mens bona in hominis corpore. Tenta quidẽ quoad corp⁹ eſſe amãs laboris, quoad animã v. amãs ſapientiæ, ut illo quidem efficere poſſis decreta, hâc verò providere ſcias conducentia.

τοῖς φαύλοις μέτεστι. Ταύτης δὲ μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας, οἱ γὰρ δίκαιοι τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ᾽ οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.

γεν

Omne quod es dicturus prius provide sententia. Multis enim lingua præcurrit mentem. Existima nihil esse humanorum firmum. Sic n. neq; bona fortũa utens eris nimis lætꝰ, neq; adversa fortuna utens nimium tristis. Duo tempora fac dicẽdi, aut de quibꝰ nosti perspicuè, aut de quibus necessarium dicere. In his enim solis sermo silentio melior, in verò aliis melius tacere quàm dicere. Gaude quidẽ in evenientibus bonis, & tristis esto modicè in contingentibus malis. Fias verò aliis, neque in cæteris existens manifestus. Absurdum enim

Πᾶν ὅτι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. Δύω ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λαλεῖν, χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν. γίνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν καταδήλος· ἄτοπον γὰρ τὴν μὲν οὐ-

σίαν

ſubſtantiam in domib⁹
abſcondere, mentem
verò apertã habentem
obambulare. Magis
vita vituperium, quàm
periculum. Decet n. eſ-
ſe formidoloſum qui-
dem improbis vitæ fi-
nem, ſed bonis in
vita ignominiam. Ma-
ximè quidem tenta vi-
vere juxta ſecuritatẽ.
Si verò aliquando tibi
accidat periclitari,
quære ex bello ſalu-
tem cum bona gloria,
ſed non cum turpi
fama. Equidem
mori omnibus
fatum adjudicavit,
ſed benè mo-
ri proprium bo-
nis natura tribuit.
Et non miraberis
ſi multa dictorum
non conveniant tibi

σίαν ἐν ταῖς οἰκείαις ἀ-
ποκρύπτειν, τὴν δὲ
διάνοιαν φανερὰν ἔχον-
τα περιπατεῖν. Μᾶλλον
εὐλαβοῦ ψόγον, ἢ κίν-
δυνον. δεῖ γὰρ εἶναι φο-
βερὰν τοῖς μὲν φαύ-
λοις, τὴν τοῦ βίου τελευ-
τὴν, τοῖς δὲ σπουδαίοις
τὴν ἐν τῷ ζῆν ἀδοξίαν.
Μάλιστα μὲν πειρῶ ζῆν
κατὰ τὴν ἀσφάλειαν.
ἐὰν δέ ποτέ σοι συμ-
βῇ κινδυνεύειν, ζήτει τὴν
ἐκ τοῦ πολέμου σωτη-
ρίαν μετὰ καλῆς δόξης,
ἀλλὰ μὴ μετ' αἰσχρᾶς
φήμης. Τὸ μὲν γὰρ
τελευτῆσαι πάντων ἡ
πεπρωμένη κατέκρινε,
τὸ δὲ καλῶς ἀποθα-
νεῖν, ἴδιον τοῖς σπουδαί-
οις ἡ φύσις διένειμε.
καὶ μὴ θαυμάσῃς,
εἰ πολλὰ τῶν εἰρημέ-
νων οὐ πρέπει σοι πρὸς

præsenti ætati. Neque enim me hoc latuit, sed constitui per hanc occupationem simul prę-sentis vitæ consilium ferre, & futuri temporis præceptum relinquere. Etenim horum indigentiam facilè scies, sed consulentem cum benevolentia difficulter invenies. Vt igitur reliqua non ab alio quæreres, sed hinc tanquam ex penu proferres, existimavi decere nihil relinquere, quæ habeo tibi cõsulere. Multam autem Deo gratiam haberem, si non caderem opinione, quam habens de te existo. Etenim aliorum plurimas in-

τὴν νῦν παροῦσαν ἡλικίαν. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας, ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥαδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν, ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοι συμβουλεύειν, πολλὴν δ' ἂν τῷ θεῷ χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν μὲν γὰρ ἄλλων τοὺς πλείους εὑ-

ρήσο-

veniemꝰ, quemadmodū cibis jucundissimis magis, quàm saluberrimis gaudentes, ita etiam amicis peccantibus appropinquantes, sed non admonentibus. Te verò existimo contrarium horum cognovisse, signo usus circa aliam tuam institutionem amore laboris. Nam se optima facere jubentem hunc verisimile etiam aliorum ad virtutem adhortantes recipere. Maximè verò incitaberis expetere bona opera si didiceris, quòd & voluptates ex his maximè sincerè habemus. In socordia enim & satietatis

ἐρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος, τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν καὶ τὰς πλησμονὰς

amore statim tristitiæ voluptatibus adhærescunt. Verùm circa virtutem laborē amare, & sapienter suam vitam instituere, semper delectationes sinceras, & constantiores reddit, & ibi quidem primum gavisi, postea tristitia afficiuntur: Hîc verò post tristitias voluptates habemꝰ. In omnibꝰ verò operibꝰ ō ita principii recordamur, quemadmodū finis sensum accipimus. Plurima enim circa vitam non per ipsa opera facimus, sed descendentium gratiâ laboramus. Cogita verò cur improbis contingit quælibet facere. Statim enim

ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήχασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. κἀκεῖ μὲν πρῶτον ἡσθέντες ὕστερον ἐλυπήθημεν. ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. εὐθὺς γὰρ

τοῦ

vitæ tale fecerunt fundamentum. Bonis verò non licet virtutem negligere, aut multos habere reprehendentes. Omnes enim oderunt non tàm peccantes, quàm mansuetos quidem dicentes esse, nihil autem à quibuslibet differentes, meritò. Quando enim sermone solo mentientes improbamus, nonne vita omni minutos improbos esse dicemus? Meritò verò tales existimaverimus, non tantùm erga seipsos peccantes, verùm etiam fortunæ esse proditores; illa enim ipsis opes &

τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν. τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας, εἰκότως. ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἤπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' αὐτοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δό-

gloriam & amicos tradidit. Hi verò scipsps indignos præsenti felicitate constituerũt. Si v. decet mortalem existentem deorum inquirere mentẽ existimo, & illos in familarissimis maximè manifestare, quomodo affecti sint erga improbos, & bonos hominum. Iupiter n. Herculem & Tantalum generans, (ut fabulæ dicunt, & omnes credunt) illum quidè propter virtutẽ immortalem fecit, hunc v. propter malitiã maximis pœnis punivit. Quibus decet exemplis utentes appetere honestatem, & non tantum nobis dictis imma-

δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάζεσθαι διανοίας, ἡγοῦμαι, κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. ζεὺς γὰρ ἡρακλέα καὶ τάνταλον γεννήσας, (ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι) τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκἀγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ὑμῶν εἰρημένοις ἐμμένειν,

nere, ſed etiam Poëtarum optima diſcere, & aliorum Sophiſtarum, ſi quid utile dixerunt, cognoſcere. Qnemadmodũ enim apem videmus in omnes quidem flores inſidentem, à quolibet verò utilia ſumentem: Sic decet & eruditionem expetentes nullius quidem inexpertos eſſe, undiquaque verò utilia colligere. Vix enim aliquis ex hac cura naturæ peccata vincit.

γειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ISOCRATIS AD NICOCLEM DE Regno.

QVI conſueverunt, ô Nicocles, vobis regibus veſtes adducere, aut æs, aut aurum elabotum, aut aliud quid talium opum, quarum ipſi quidem indigi ſunt, vos verò abundatis: valdè videntur eſſe mihi aperti, non dationē, ſed mercaturam facientes, & multò artificioſius ipſas vendentes, quàm profitentes ſe caupo-

ΙΣΟΚΡΑΤΟΥΣ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ, περὶ βασιλείας.

Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χαλκὸν, ἢ χρυσὸν εἰργασμένον ἢ ἄλλο τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν, ἀλλ' ἐμπορείαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0042-2

nari. Ego verò existimaverim, hoc optimum esse donum, & utilissimum, & maximè conveniens, & mihi dare, & tibi accipere, si possem definire, qualia studia expetens, & à quibus operibus abstinens, optimè etiam urbem, & regnum administrares. Etenim privatos homines sunt multa erudientia. Et maximè quidem non delicatè vivere, sed cogi de victu quolibet certare die. Præterea leges, secundùm quas quilibet subditi existunt. Insuper libertas,

λαβεῖν. ἐγὼ δὲ ἡγησάμην ἂν, ταύτην καλλίστην γενέσθαι δωρεὰν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπουσαν, ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστα καὶ τὴν πόλιν καὶ βασιλείαν διοικοίης. τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν. ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δ' ἡ παρρησία,

& apertè licere amicos reprehendere, & inimicis imponere mutuis delictis. Inſuper quidam & Poëtarum antea exiſtentium præcepta, quomodo deceat vivere reliquerunt, ut ex omnibus his veriſimile illos meliores fieri. Verùm Tyrannis nihil accidit tale, ſed quos magis decebat quàm alios inſtitui, poſtquam in imperium conſtituti ſunt, nihil admoniti vitam tranſigũt. Plurimi enim hominum ipſis non appropinquant, convenientes v. ſecundum gratiã converſantur. Etenim Domini facti & opum

καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς μὲν φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις. πρὸς δὲ τούτοις τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας, ὡς χρὴ ζῆν καταλελοίπασιν, ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. Τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ' οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατελοῦσιν. οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν. οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσι. καὶ γάρ τοι κύριοι γιγνόμενοι καὶ χρημά-

plurimarum, & rerum maximarum, propter non benè uti, hisce occasionibus fecerunt, ut multi dubitent, utrum sit dignum eligere, vitam privatè viventium quidem, probè autem facientium, aut tyrannorum. Quando enim adspiciunt ad honores, & divitias, & potentias, diis æquales omnes existimant in monarchiis existentes: Postquam verò considerant metus & pericula, & perpendentes invenient hos quidē, à quib⁹ minimè oportebat interfectos esse, alios verò erga familiarissimos

τῶν πλείστων καὶ πραγμάτων μεγίστων, διὰ τό μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς πεποιήκασιν, ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι, τὸν βίον τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς καὶ τοὺς πλούτους καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας; ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν. ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠ-

delinquere esse coactos, illis v. utraq; hæc accidisse rursum, ut cunque vivere putant expedire magis, quàm cum talibus calamitatibus toti Asiæ dominari. Hujus verò diversitatis & confusionis causa est, quòd regnum tanquam sacrarium cujuslibet viri esse putant: Quæ humanarum rerum maxima est, & maximâ providentiâ indigens. In qualibet igitur actione, ex quibus quis maximè possit secundum morem administrare, & quidem bona custodire, sed calamitates fugere,

ναγκαζομένους, τοῖς δ' ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν, ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν; ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείστης προνοίας δεόμενον. καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν,

τῶν

semper præsentium opus est consulere. In universum verò studia, quæ decet inquirere, & circa quæ decet tempꝰ conterere, ego tentabo perficere. Num igitur erit donum elaboratum, dignũ propositione, difficilè (est) à principio discernere. Multa enim & ligatorum poëmatum, & solutâ oratione scriptorum, adhuc quidem in mentibus existentia componentium, magnas expectationes præbuerunt; Perfecta verò, & aliis demonstrata, multò deteriorem gloriam spe acceperunt.

τῶν ἀεὶ παρόντων ἔργων δεῖ συμβουλεύειν. καθόλου δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν, εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν, ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν. πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων, ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων μεγάλας τὰς προσδοκίας παρέσχεν; ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβον.

Verum enimverò tractatio benè habet quærere prætermissa, & leges proponere monarchiis, equidem privatos homines instituentes ipsis solis prosunt. Si verò quis dirigentes multitudinem ad virtutem adhortatus fuerit, utrosq; juvabit, & imperia habentes, & sub ipsis existentes. His enim sanè imperia firmiora, illis verò Respublicas mansuetiores effeceris. Primum igitur considerãdum, quid regentium officium sit. Si enim caput & potentiam totius negocii benè

οὐ μὴν, ἀλλὰ καὶ τοῦτο ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς μοναρχίαις, οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες ἐκείνους μόνους ὠφελοῦσιν. εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπὶ ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐταῖς ὄντας. Τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν. Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστὶν, ἐὰν γὰρ τὸ κεφάλαιον καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς

περι-

accipimus, huc reſpicientes melius etiam de aliis partibus dicemus. Exiſtimo ſanè omnes confiteri, decere ipſis urbemque affiictam liberare, & bona fortuna utentem cuſtodire, & magnam ex parva facere. Alia enim ſigulis diebus accidentia horum gratia facienda ſunt, Et illud manifeſtum, quod decet iſta potentes, & de illis deliberantes non ſocordes eſſe, ſed videre, quomodo ſapientius affecti ſint aliis. Manifeſtum eſt enim, quòd talia habebunt regna, quales

παραλάβωμεν; ἐνταῦθα ἀποβλέποντες ἄμεινον, καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν. Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσήκειν αὐτοῖς, πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι, τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα τούτων ἕνεκα πρακτέον ἐστὶ, καὶ μὴν ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τούτων βουλευσομένους μὴ ῥαθυμεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδεικται γὰρ, ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵασπερ ἂν τὰς αὐ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0049-5

ſuas ſententias præparaverint. Quare nullum pugilum ita decet corpus exercere, quàm reges animam ſuam. Omnes n. populares convent⁹ nullam partem ponunt horum præmiorum, de quibus vos ſingulis certatis diebus. Quæ conſiderantem decet attendere mentem, ut quantum honoribus aliis antecellis, tantùm & virtutibus aliis differas. Et non exiſtima curam in quidem aliis negotiis utilem eſſe, ad verò meliores nos & prudentiores fieri nullam habere

αὐτῶν γνώμας παρεσκευάσωσιν. ὥστε οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι, τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασιν τούτων τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν. ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίνεσθαι, μηδεμίαν ἔχειν

potentiam, neq; condemnans hominum tale infortunium, quòd circa bestias artes invenimus, quibus ipsarum animos mansuefaciamus, & pluribus dignas efficimus. Nobis verò ipsis nihil ad virtutem prodesse possimus. Sed quemadmodum & institutione, & cura maximè valente nostræ animæ benefacere, ita affectus sis animo, & præsentium prudentissimis appropinqua; & aliorum, quos poteris accerse; & neque poëtarum benè audientium, neque Sophistarum

δύναμιν· μηδὲ καταγνῶς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν. ἡμᾶς δ᾽ αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν, ἀλλ᾽ ὡς καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας μάλιστα δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην, καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων, οὓς ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μη-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0051-2

ullius existima decere inexpertũ esse, sed illorũ quidem auditor existe, horum v. discipulus & præpara teipsum quidem minorem judicem, sed majorum æmulatorem. Per hæc enim exercitia celerrimè sanè eris talis, qualem supposuerimus decere esse rectè imperantem, & urbem, ut decet, dirigentem. Maximè verò ipse à teipso incitaberis, si turpe esse duxeris pejores melioribus imperare, aut insipidos sapientioribus imperare. Quantò enim sanè vehementiùs aliorum insaniam despexeris, tantò magis tuam ipsius mentem

μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίνου, τῶν δὲ μαθητής, καὶ παρασκεύαζε σεαυτὸν, τῶν μὲν ἐλασσόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγωνιστήν. διὰ γὰρ τούτων τῶν γυμνασίων τάχιστ' ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύοντα, καὶ τὴν πόλιν, ὡς χρὴ, διοικήσοντα. Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν

ἀσκή-

exercebis. Incipere igitur hinc decet volentes aliquid facere decẽtiũ. Insuper amantem hominum esse decet, & amantẽ urbis. Neq; n. equis, neq; canib. neque viris, neque alteri negocio possibile benè imperare, nisi quis gaudeat his, quorum ipsum decet gerere curam. Curæ sit tibi multitudo, & supra omnia, fac cum gratia ipsis imperare, cognoscens, quòd & imperia paucorum & aliarũ rerumpublicar. ipsa plurimum tempus permanent, quæ optimè multitudinẽ curant. Benè a. populũ duces, si neq; populũ cõtumeliari sinas, neq; cõtumeliâ affectũ despexeris, sed vi-

ἀσκήσεις. ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων. πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν. οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γινώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσι. Καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκο-

videas, ut optimi quidem honores habeāt, alij verò nō afficiantur injuria. Hæc n. elementa prima & maxima bonæ Reipublicæ sunt. Mandatorū & studiorum, move & transpone non benè constituta. Et maximè quidem inventor fias optimorum, si verò non, imitare ab aliis benè habentia. Quære leges in universum quidem justas, & conducentes, & sibi ipsis consentientes. Insuper, quæ quidem dubitationes quàm minimas, resolutiones verò quam celerrimas civibus faciant. Hæc enim omnia inesse decet benè positis legi-

τηρῆς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικηθήσονται. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί. Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων, κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα. καὶ μάλιστα μὲν εὑρετὴς γίνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα, ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους, καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους. πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιήσουσι. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις.

bꝰ. Operationes quidẽ ipsis cõstitue lucrosas, negotia verò forensia damnosa, ut hæc quidem fugiant; ad vero illas alacriter sint affecti. Iudicia fac de quibus erga se invicem dubitent, non ad gratiam, neque contrarias sibi invicẽ, sed semper eadem de iisdem cognosce. Etenim decet & conducit regũ sententiam immutabiliter se habere de justis, tanquam leges benè positas. Administra urbem similiter, tanquam paternam donum, prepa rationibꝰ splendidè & regiè, actionibus verò accuratè, ut benè audias simul & satis habeas. Magnifi-

μοις. τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι. τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίνωσκε. καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα, καὶ διαρκῇς. τὴν μεγαλοπρέ-

πρε-

centiam demonstra in nullâ sumptuosarum rerũ statim evanescentium, sed in prædictis, & in pulchritudine possessionum, & amicorum beneficiis. Ejusmodi enim expensionum ipsique tibi permanent, & posteris pluris digna insumptis relinques. Quæ sunt circa Deos fac quidẽ, ut majores demonstrarunt. Existima a. hoc esse sacrific. optimũ, & cultũ maximũ, si quam optimũ & justissimum te præbueris. Magis enim spes tales, quam sacrificia multa dejicientes, facturos esse aliquid divinorum bonorum. Honora quidẽ primariis honoribus familia-

πρέπειαν ἐνδείκνυσο, ἐν μηδεμιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμένει, καὶ τοῖς ἐπιγινομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. Τὰ περὶ τοὺς θεοὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν. Ἡγοῦ δὲ τοῦτ' εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον, καὶ δικαιότατον σεαυτὸν παρέχῃς. Μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας, πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτά-

riſſimos, ſed veriſſimis benevolentiſſimos. Cuſtodiam firmiſſimam exiſtima corporis eſſe amicorum virtutem, & civium benevolentiam, & tuam pudentiam. Per enim hæc & acquirere & conſervare regna maximè ſanè quis poſſit. Curam gere domuum privatarum, & exiſtima ſumpt⁹ facientes de tuis ſumere, & laborantes tua majora facere. Omnia enim inhabitantium urbem domeſtica benè regentium ſunt. Per omne temp⁹ veritatē, ſic appare honorans, ut fide digniores ſint tui ſermones, quàm aliorū juramēta. Omnibus quidē hoſpitib⁹ tu-

τους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους. Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι, τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν. Διὰ γὰρ τούτων καὶ κτᾶσθαι, καὶ διασώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν. Ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστὶ. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν, οὕτω φαίνου προτιμῶν ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφα-

tam urbem præbe, & ad contractus legitimam. Plurimi autem fac advenientium, non tibi dona adducentes, sed à te accipere petentes. Honorans enim tales, magis apud alios benè audies. Timores exime civibus, & non velis terribilis esse nihil injustè facientibus. Vt enim alios erga te disponas, ita & tu erga illos affectus sis. Fac quidem nihil cum ira videre verò aliis, cum tibi tempus sit. Severus quidem appare, nihil te latere factorum: Mansuetus verò pœnas minores faciendo

λῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον. περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων, μὴ τοὺς σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους, μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. τοὺς φόβους ἐξαίρου τῶν πολιτῶν, καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν. ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. ποίει μὲν μηδὲν μετ᾽ ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων: πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν

ἁμαρ-

peccantibus. Principalis velis non difficultate, neque valdè puniendo, sed omnes superando tuâ mente atque putando de sua salute melius te consulere. Bellicosus fias scientiis & apparatibus, pacificus verò nihil præter justum possidendo. Sic te præbe urbes erga minores, quemadmodum meliores erga teipsum expetiveris. Rixare non de omnibus, sed de quibus imperanti tibi futurū est conducere. Improbos existima non utilitate succumbentes, sed cùm damno vincentes. Magnani-

ἁμαρτανομένων. ἀρχικὸς εἶναι θέλε μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε συμβουλεύεσθαι. πολεμικὸς γίνου ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. φιλονίκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλει συνοίσειν, φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους. Μεγαλόφρο-

mos esse existima non majora assumentes, quam quę possunt possidere, sed mediocria appetentes, efficere verò valentes, quib⁹ manus admovent. Imitare non maximū imperium possidentes, sed optimè præsenti utentes. Et existima perfectè beatum fore, non si omnibus hominibus cum timorib⁹ & periculis imperas; sed si talis existens, qualē decet, & faciens, tanquā in præsenti mediocria desideres, & nulli⁹ horum indigeas. Amicos posside nō omnes volentes, sed tuâ natura dignos existentes, neq; cum quib⁹ suavissimè temp⁹ cōteras, sed cum quib⁹ optimè ur-

νας εἶναι νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους, οἷς ἂν ἐπιχειρῶσι. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους. Καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὤν, οἷον χρή, καὶ πράττων, ὥσπερ ἐν τῷ παρόντι μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πό-

bem administres. Exquisitas fac explorationes præsentium sciens, quòd omnes non tibi appropinquantes, similem te utentibus arbitrantur. Tales præfice negotiis non per te factis, tanquam ipse culpas habiturus (eorum) quæ illi faciunt. Fideles existima non omne, quod dicis vel facis laudantes, sed peccata reprehendes. Da dicendi libertatem benè sapientibus, ut de quibus dubites, habeas unà exquirentes. Discerne & artificiosè assentantes, & cum benevolentia servientes, ne plus mali bonis habeant. Audi sermones de

λιν διοικήσεις. ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς, ὅτι πάντες, οἱ μὴ σοὶ πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις νομιοῦσι. τοιούτους ἐφίστη τοῖς πράγμασι, τοῖς μὴ διὰ σοῦ γινομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσιν. Πιστοὺς ἡγοῦ, μὴ τοὺς πᾶν ὅτι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. ἄκουε τοὺς λόγους, τοὺς περὶ

invicem, & tenta cognoscere simul dicentes, & quales & qui sint, & de quibus dicant. Iisdem puni pœnis falsò calumniantes, quibus sanè delinquentes. Impera tibi nihil minus, quàm etiam aliis; & hoc existima Rege dignissimum, si nulli servieris voluptatum, sed imperes affectibus magis quàm civibus. Nullam societatẽ temerè suscipe, neq; absq; ratione, sed in ejusmodi cõversationib. assuefac teipsum gaudere, ex quib' ipse addas, & aliis melior esse videaris. Non appare ambitiosus in iis, quæ & malis perfi-

ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοί τέ τινες εἰσὶν, καὶ περὶ ὧν ἂν λέγωσι. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, ὥσπερ ἂν τοὺς ἐξαμαρτάνοντας. Ἄρχε σεαυτοῦ μηδὲν ἧττον, ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν. μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. μὴ φαίνου φιλότιμος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς δια-

απερά-

cere possibilè est, sed in virtute valdè sapiens, cujus nulla pars improbis inest. Existima bonorum verissimos esse, non inpulblico cum timore factos, sed quando ipsi apud se existentes, magis tuam mentem, quàm fortunam admirentur. Late quidem, si quandoq; tibi acciderit improbis gaudere. Demonstra verò maximis studens. Non quidem alios postula modestè vivere, reges verò inordinatè: Sed tuam Temperantiam exemplum aliis constitue, cognoscens, quòd civitatis totius mos assimilatur principibus. Signum sit tibi benè

ἀπεράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γινομένας, ἀλλ' ὅταν αὐτοὶ, παρ' αὑτοῖς ὄντες μᾶλλον τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν. λάνθανε μὲν, ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν. ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως: ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη. γινώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. σημεῖον ἔστω σοὶ τοῦ καλῶς

βασι-

imperandi, si subditos vides ditiores & sapientiores factos per tuam curam. Maioris fac gloriam bonam, quàm divititias magnas liberis relinquere. Hæ n. mortales, illa v. immortalis, & gloriâ quidem opes acquiri possunt, gloria v. pecuniâ non venalis. Et hæc quidem improbis contigit, illam v. nō possunt, nisi præstantes acquirere. Splendidus sis quidem vestib⁹ & circa corpus munditieb⁹, continens sis verò, ut decet Reges in aliis studiis; ut quidem videntes per vultum, dignum te imperio esse, existiment, familia-

βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γινομένους διὰ τὴν σὴν ἐπιμέλειαν. περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητὸς, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν τοῖς φαύλοις παραγίνεται, τὴν δ' οὐχ οἷόν τε, ἀλλ' ἢ διενεγκόντας κτήσασθαι. τρύφα μὲν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δ', ὡς χρὴ τοὺς βασιλέας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν, ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόν-

τες

res verò propter animæ robur eandē cum illis sententiā habeant. Considera sermones semper tuos & opera, ut in quàm paucissima peccata incidas. Optimum quidem punctū temporis attingere. Quoniam v. difficulter disci possunt, deficere velis, & nō plus justô facere. Mediocritates enim magis in defectibus, quàm abundantiis valent. Vrbanus esse tenta, & gravis, hoc enim tyrannidi convenit, illud verò ad familiaritates quadrat. Difficilimum autem hoc omnium est negotium. Invenies enim quàm plurimū graviter se habē-

τες διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσι. ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ καὶ τὰς πράξεις. ἵνα ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν, αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν. ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός, τὸ μὲν γὰρ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. Χαλεπώτατον δὲ τῶν πάντων ἐπὶ πραγμάτων εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ τοὺς μὲν σεμνυνομέ-

νους

tes frigidos existentes, sed volentes urbanos esse, humiles apparentes. Decet verò uti quidem utrisque his speciebus, calamitatem verò utrisque adhærentem fugere. Quod accuratè scire vis (eorum) quæ scire convenit Reges, experientia aggredere & Philosophia. Nam philosophari vias tibi monstrahit. Sed in ipsis operibus exerceri posse te uti rebus faciet. Considera facta & accidentia; & Idiotis, & tyrannis: Si enim præterita recordatus fueris, melius & de futuris

νους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπεινοὺς φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν. ὅτι ἂν ἀκριβῶς εἰδέναι βούλει ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι, καὶ φιλοσοφίᾳ. τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει.. τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. θεώρει τὰ γινόμενα καὶ τὰ συμπίπτοντα, καὶ τοὺς ἰδιώταις καὶ τοῖς τυράννοις ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων

consules Turpe existima quidem Idiotarum velle aliquot mori, ut mortui laudentur, verùm Reges non suscipere uti studiis hisce, ex quibus viventes benè audiunt. Velis imagines virtutis monumentũ potiꝰ, quàm corporis relinquere. Maximè quidem tenta securitatem tibi ipsi & urbi custodire, si verò coactꝰ fueris periclitari, velis benè mori potius, quàm vivere turpiter. In omnibus operibꝰ memento regni, & cura, ut nihil indignum honore hoc facias. Non despicias tuam naturam simul omnem dissolutã,

βουλεύσῃ. δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντεο ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν. μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ καὶ τῇ πόλει διαφυλάττειν, ἢν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσεισ. μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν, ἀλλ'

ſed quoniam mortale corp⁹ conſecut⁹ es, immortalem v. animam, tenta animę immortalem memoriam relinquere. Meditare de bonis ſtudiis dicere, ut aſſuefias ſimilia dictis ſapere. Quæ verò tibi conſideranti apparent optima, hæc operibus perfice. Quorum gloriam æmularis, imitare opera. Quæ liberis tuis conſuleres, his ipſe immanere dignū puta. Vtere dictis, aut quære meliora his. Sapientes exiſtima, non exquiſitè de parvis contendentes, ſed benè de maximis dicentes, neque

ἀλλ᾽ ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν, ἃ δ᾽ ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. ἃ τοῖς παισὶ τοῖς ἑαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. Χρῶ τοῖς εἰρημένοις ἢ ζήτει βελτίω τούτων. Σοφοὺς νόμιζε, μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. μηδὲ τοὺς τοῖς

μὲν

quidem aliis felicitatem promittētes, ipſos verò in multis anguſtiis exiſtētes, ſed mediocria quidem de ſe dicētes, converſari verò & cum negotiis, & hominibus valentes, & non perturbatos in vitæ mutationibus, ſed benè & mediocriter & calamitates & bonas fortunas ferre ſcientes. Et ne mirare, ſi multa dictorum ſunt, quæ & tu cognoſcis, neq; enim me hoc latuit, ſed ſcivi, quòd tot exiſtentib. multitudine & Idiotis, & imperatorib9 alii quidē aliqd. horū dixerūt, alii v. audiverunt, alii v. alios facientes viderunt.

μὲν ἄλλοις εὐδαιμονίας ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι, καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους. καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστὶν, ἃ καὶ σὺ γιγνώσκεις, οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ᾽ ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν, καὶ τῶν ἀρχόντων, οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν.

Singula verò ipsi existunt exercentes. Sed non in orationibus decet de studiis quærere novitates, in quib9 neq; absurdũ, neq; incredibile, neq; extra putare quicquã est invenire, sed putare hunc esse gratiosissimum, qui dispersorum in aliorum mentibus colligere plurima possit, & dicere optima de ipsis. Postquam & hoc mihi manifestũ erat, quod consulentia & poematum, & scriptorum utilissima quidem omnes existimant, nõ v. suavissimè ipsa audiunt, sed hoc pa-

ἔνια δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον, οὔτε ἄπιστον, οὔτε ἔξω τῶν νομιζομένων οὐδὲν ἔστιν εὑρεῖν, ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ ταυτὸ πεπόν-

tiuntur, quod adhortantes. Etenim illos laudant quidem omnes: appropinquare vero nolunt, sed magis eligunt adesse peccantibus, sed non dehortantibus. Signum verò aliquis faceret Hesiodi & Theognidis & Phocylidis poesin. Etenim hos dicunt quidem optimos Consiliarios fuisse vitæ hominum. Hæc verò dicentes malunt conversari mutuis insipientiis potius, quàm illorum præceptis. Insuper verò si quis eligeret, & præcellentium poetarum dictas sententias, in quibus illi maximè studuerunt.

πόνθασιν, ὅπερ πρὸς τοὺς νουθετοῦντας. καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες: πλησιάζειν δ' οὐ βούλονται, ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς ἐξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. Σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῶν ἀνθρώπων. ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε, καὶ τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστ' ἐσπούδασαν.

Similiter & erga has dispositi sunt. Libentius enim Comœdiam pessimam, quam ex ita artificiosè factis audirēt. Et quid decet secūdū unūquodq; dicentē conterere; Omninò enim si velimus videre naturas hominum, inveniemus multos eorum, neq; ciborum gaudentes saluberrimis, neque studiorum optimis, neque negotiorum præstantissimis, neque doctrinarum utilissimis, sed omninò contrarias conducenti voluptates habētes, & apparentes. Tolerantes esse & amantes laboris decentiū aliquid nō faciētes

ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν. ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν. καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ θέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν, οὐδὲ τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας, καρτερικοὺς εἶναι καὶ φιλοπόνους τοὺς τῶν δεόντων τί μὴ ποιοῦντας.

ὥστε

Quare quomodo quis talibꝰ aut adhortās, aut docens, aut utile quid dicēs placuerit, qui prę ter dictos sermones invident quidem prudentibus, Simplices v. arbitrantur mentē nō habentes, ita verò veritates negotiorum fugiunt, ut neque sua ipsorum norint, sed contristantur quidem de propriis ratiocinātes gaudēt verō de alienis discurrentes. Vellent verò corpore malè pati magis, quàm animâ laborare, & providere de aliquo necessariorū. Inveniat autē quis ipsos inquidē cum invicem familiaritatibus convitiantes, aut convitiis affectos,

ὥστε πῶς ἂν τις τοὺς τοιούτους ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις λόγοις φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας; οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δὲ ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ' ἂν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας ἢ λοιδορουμένους

In verò solitudinibꝰ nō consulentes sed orantes. Dico verò hæc non de omnibus, sed de reis dictorum existentibꝰ. Illud igitur apertum, quod decet volentes, aut facere, aut scribere quid gratiosum vulgo, non utilissimos sermonum quærere, sed fabulosissimos. Audientes quidem igitur hæc gaudēt, cōsiderantes v. certamina & pugnas contristantur, propterea & Homeri poesin, & primo invenientes Tragœdiam dignū admirari, quòd considerantes naturam hominum utrisq; formis istis sunt usi ad poesin.

ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους ἀλλ' εὐχομένους. λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δὲ οὖν φανερόν, ὅτι δεῖ τοὺς βουλομένους, ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους, ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας ἄχθονται. διὸ καὶ τὴν Ὁμήρου ποίησιν καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν.

Hic etenim certamina, & bella semideorum fabulatus est, illi vero fabulas ad certamina & opera cōstituerunt, ut nō solū auditores nobis, sed & spectatores fuerint. Talibus igitur exemplis existentibus, receptum est volentibus auditores oblectare, quod ab adhortando & consulendo abstinendum, illa vero scribenda & dicenda, quibꝰ vident populos gaudētes. Hæc verò exposui arbitratus te decere nō unum multorū, sed multorū existentē tyrannū, non eandē sententiā habere cum aliis, neque honesta negotia, neque prudentes hominum

ὁ μὲν γὰρ τοὺς ἀγῶνας, καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν, ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατοὺς γενέσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας, ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν. ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων,

voluptatibus judicare Sed in actionibus utilibus ipsos probare. Præsertim quia de exercitiis animæ dubitant circa philosophiam conterentes, & dicunt, hi quidē per cōtentiosos sermones illi v. per politicos, alii v. per alios quosdam sapientiores futuros esse ipsis appropinquantes. Hoc vero omnes cōfitētur, quod decet benè institutum ex singulô hôcce fieri consulere valentem. Decet igitur remittentem dubia, & ad constitutum venientē, sumere ipsorum argumentum, & maximè quidem in

ταῖς ἡδοναῖς ἀνακρίνειν. ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. ἄλλως τε ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες, καί φασιν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας. ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον ἐξ ἑκάστου τούτων γίνεσθαι συμβουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων, ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα, λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0076-1

temporib⁹ considerare consulentes, si verō non universaliter de rebus dicentes, & nihil agnoscentes decentium improbare. Manifestum enim quod nihil existens sibi ipsi utilis, neq; alium sapientem faciat. Mentem v. habentes, & valentes videre plus aliquid aliis, magni facito & honora, cognoscēs, quod consiliarius bonus utilissimū & tyranno dignissimū omniū possessionū est. Existima vero hos tibi maximū facturos regnum, qui menti tuæ plurimū prodesse possunt. Ego quidem quæ cognosco, admonui, & honoro te his,

καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας, εἰ δὲ μὴ τοὺς καθόλου τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γινώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν. δῆλον γὰρ, ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν. τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε γινώσκων, ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν. ἡγοῦ δὲ τούτους σοι μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. ἐγὼ μὲν οὖν ἅπερ γινώσκω, παρήνεσα, καὶ τιμῶ σε τούτοις

quibus existo valens. Velis vero etiam alios, quod dixi incipiens, non consueta adducere tibi dona, quæ vos multo pluris emitis à dantibus, quàm à vendentibus, sed talia, quibus si valdè uteris, & nullum diem remiseris, non conteres, sed majora & digniora existentia ipsa facies.

οἷς τυγχάνω δυνάμενος. βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεὰς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων, ἢ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, αἷς ἐὰν σφόδρα χρήσῃ καὶ μηδεμίαν ἡμέραν διαλίπῃς, οὐ κατατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας οὔσας αὐτὰς ποιήσεις.

NICOCLES, SEU CONSULTATORIA ORATIO TERTIA.

Sunt quidam, qui difficulter affecti sunt erga sermones, & reprehendunt philosophantes: Et dicunt ipsos non virtutis, sed avaritiæ gratià facere tales conversationes. Libēter igitur audirem ita dispositos, propter quod quidē benedicere volentes fugiunt, at rectè facere volentes laudant: si enim plus habendi studia affligūt eos, plura & majora ex operibꝰ quàm sermonib. inveniemus existentia

ΝΙΚΟΚΛΗΣ, Η ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Εἰσί τινες, ὃ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους, καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας: καὶ φασιν, αὐτοὺς οὐκ ἀρετῆς, ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς. ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν: εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτοὺς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας.

ἐπεὶ

Deinde & illud absurdū si latuit ipsos, quòd quę circa Deos religiosè colimus, & justitiam exercemus, & alias virtutes tractamus, non ut aliis minus habeamus, sed ut cum plurimis bonis vitam transigam9. Quare nō accusanda illa negotia sunt, per quę quis cū virtute plus habiturus sit, sed homines circa res delinquentes, aut sermonibus decipientes, & non justè utentes ipsis. Admiror verò hanc sententiam habētes, quomodo nō & divitiis, & robori, & fortitudini malè dicunt. Si enim propter decipientes &

ἔπειτα κἀκεῖνο ἄτοπον, εἰ λέληθεν αὐτούς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν, καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. ὥστε οὐ κατηγορητέον τούτων τῶν πραγμάτων ἐστίν, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων, ἢ τοῖς λόγοις ἐξαπατώντων, καὶ μὴ δικαίως χρωμένων αὐτοῖς. θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ καὶ τὸν πλοῦτον, καὶ τὴν ῥώμην, καὶ τὴν ἀνδρείαν κακῶς λέγουσιν. εἴπερ γὰρ διὰ τοὺς ἐξαπατῶντας καὶ

mentientes erga orationes difficulter affecti sunt, convenit & alia bona ipsos reprehendere. Apparebunt n. quidam & hæc possidentes delinquentes, & multis per hæc malè facientes. Verùm nō justum, neq; si quidam obvios verberarent, robur accusare: neq; propter occidentes fortitudini cōvitiari, neq; omninò hominum malitiam ad res transferre: Sed illos ipsos vituperare, qui bonis malè utuntur, & prodesse valentibus his nocere concivibus suscipiunt.

τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσιν, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν. Φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες, καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες. ἀλλὰ γὰρ οὐ δίκαιον, οὐδ᾽ εἴ τινες τοὺς ἀπαντῶντας τύπτοιεν, τῆς ῥώμης κατηγορεῖν: οὔτε διὰ τοὺς ἀποκτείνοντας τὴν ἀνδρείαν λοιδορεῖν, οὐθ᾽ ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν: ἀλλ᾽ αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται, καὶ τοῖς ὠφελεῖν δυναμένοις τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσιν.

Nunc verò negligẽtes ad eundem modum de unoquoq; discernere erga omnes orationes difficulter affecti sunt, & tantum delinquunt, ut non sentiant erga hoc negotiũ inimicè habẽtes, quòd omnium existentiũ in hominum natura plurimorũ bonorum causa est. Etenim aliis quæ habemus, nihil ab aliis animalib⁹ differimus: Sed longè & celeritate, & fortitudine, & aliis facultatibus deteriores sumus existentes. Innatô v. nobis persuadere ad invicẽ, & manifestare erga nos ipsos, de quib9 cõsuluerim9: nõ solum beluino more vivere desivimus, sed

Νῦν δ' ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται, καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε οὐκ αἰσθάνται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ὄντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν, οὐδὲν τῶν ἄλλων ζώων διαφέρομεν: ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ, καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες. ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους, καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς, περὶ ὧν ἂν βουληθῶμεν: οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ

& cōveniētes civitates ædificavimus, & leges posuimus, & ferè omnia per nos elaborata, oratio nobis est simul præparans. Hæc enim & de justis, & de injustis, & turpibus, & honestis leges posuit. Quibus non ordinatis, non possemꝰ habitare ad invicem. Hâc & malos redarguimus, & bonos laudamus, per eam & insipidos instituimus, & sapientes probamus. Nam dicere, ut decet sapiendi benè maximũ signum facimus. Et oratio vera & legitima, & justa animæ bonæ & fidelis imago est.

καὶ συνελθόντες πόλεις ᾠκήσαμεν, καὶ νόμους ἐθέμεθα, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα, λόγος ἡμῖν ἐστὶν ὁ συγκατασκευάσας. οὗτος γὰρ καὶ περὶ τῶν δικαίων, καὶ περὶ τῶν ἀδίκων, καὶ τῶν αἰσχρῶν, καὶ τῶν καλῶν ἐνομοθέτησεν. ὧν μὴ διαταχθέντων, οὐκ ἂν οἷοί τε ἦμεν οἰκεῖν μετ' ἀλλήλων. τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν, διὰ τούτου τούς τε ἀνοήτους παιδεύομεν, καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. καὶ λόγος ἀληθὴς καὶ νόμιμος, καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστι.

με-

Præterea & de dubiis certamus, & de ignotis consideramus. Etenim argumentis, quib. alios dicentes persuademus, iisdem ipsis, & de propriis consulentes utimur. Et eloquētes quidē nominamus, in populo dicere potentes: Consilarios v. arbitramur, qui ipsi erga seipsos optimè de rebus disserunt. Si verò decet summatim de potentiâ hâc dicere, nihil sapienter factorum inveniemus absq; ratione factum, sed & operum & discursuum omnium

μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα, καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα. Ταῖς γὰρ πίστεσιν, αἷς τοὺς ἄλλους λέγοντας πείθομεν, ταῖς αὐταῖς ταύταις καὶ περὶ τῶν ἰδίων βουλευόμενοι χρώμεθα. καὶ ῥητορικοὺς μὲν καλοῦμεν, τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους: συμβούλους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὐτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων

ἡγε-

ducē orationē existentem, & maximè utētes ipsâ plurimam mentem habentem. Quare conantes blasphemare de instituentib9, & philosophantibus, similiter dignū odisse, quemadmodū in Deorū instituta delinquentes. Ego verò recipio quidem omnes orationes, & paululum nobis prodesse valentes. Verū enim verò & optimas existimo & rege dignissimas, & maximè convenientes mihi de studiis & politiis adhortantes, ut horū ipsorum, qui docent, & imperantes, quomodo decet populò uti, & idiotas,

ἡγεμόνα, τὸν λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. ὥστε τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων, ὁμοίως ἄξιον μισεῖν, ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν ἔθη ἐξαμαρτάνοντας. Ἐγὼ δὲ ἀποδέχομαι μὲν, πάντας τοὺς λόγους, τοὺς καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους: οὐ μὴν ἀλλὰ καὶ καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους, καὶ μάλιστα πρέποντας ἐμοὶ, τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν ὅσοι διδάσκουσι. τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας,

quomodo decet erga imperãtes affectũ esse. Etenim propter hoc video urbes felicissimas, & maximas factas. Ideò alterũ sermonem quomodo decet regere, Isocratis audivistis, sed habentẽ, quæ decet facere subditos, ego tentabo trãsigere, nõ tanquam illum superans, sed quia conveniens mihi de his maximè discurrere erga vos. Si enim me non manifestante, quæ volo facere vos, aberratis à mea sententia, nõ sanè merito vobis irascerer: Si verò prædicente me nihil fieret tale, justè sanè jam non obœdientes reprehenderem. Existimo verò sic maximè advocari, &

ὡς χρὴ πρὸς ἄρχοντας διακεῖσθαι. καὶ γὰρ διὰ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. τὸν μὲν οὖν ἕτερον λόγον ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε. τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλλόμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων, μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ ἐμοῦ μὴ δηλώσαντος, ἃ βούλομαι ποιεῖν ὑμᾶς, διαμαρτάνοιτε τῆς ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην: εἰ δὲ προειπόντος ἐμοῦ μηδὲν γίγνοιτο τοιοῦτο, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην. ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι, καὶ

incitari ad recordandum vos dicta, & obtemperãdũ ipsis, non si circa consulere solum e-xisterem, & hæc enumerans desinerem: sed, si demonstrarẽ, primũ quidem politiam præsentem, ut dignũ est, amare nõ solùm propter necessitatẽ, neq; quod omne tempus cum hâc habitamus, sed quod & optimâ aliarum politiarũ est, deinde quod ego hoc habeo imperiũ nõ illegitimè, neq; alienum: Sed sanctè & justè, & per à principio majores, & per patrem, & meipsum. His enim prædemonstratis, non est, qui ipse suam damnet ma-

προτρέψαι πρὸς τὸ μνημονεύειν ἡμᾶς τὰ ῥηθέντα, καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην, καὶ ταῦτ᾽ ἀπαριθμήσας ἀπαλλαγείην: ἀλλ᾽, εἰ προσεπιδείξαιμι, πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν, ὡς ἄξιόν ἐστιν, ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ᾽ ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ᾽ ὅτι καὶ βελτίστη τῶν ἄλλων πωλιτειῶν ἐστιν, ἔπειθ᾽ ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως, οὐδ᾽ ἀλλοτρίαν: ἀλλ᾽ ὁσίως καὶ δικαίως, καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους, καὶ διὰ τὸν πατέρα, καὶ δι᾽ ἐμαυτόν. τούτων γὰρ προαποδειχθέντων, οὐκ ἔστιν ὅστις οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὴν με-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0087-2

ximè cupiam, si non obediat à me consultis & præceptis. De igitur Politiis (hinc enim proponens exorsꝰ fui) existimo omnib. videri, turpissimũ quidẽ esse iisdem dignos haberi bonos & malos: justissimum verò discernere inter ipsos, & non dissimiles similia consequi, sed & facere & honorare secundũ dignitatẽ singulos. Igitur Oligarchiæ & Democratiæ, æqualitates participantibus Politiis quærunt, & hic benè audit apud ipsas, si neq; alter alteri possit plus habere, quod improbis

γίστην ζημίαν, ἐὰν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσι. περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην) οἶμαι πᾶσι δοκεῖν, δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς, καὶ τοὺς πονηροὺς: δικαιότατον δὲ, τὸ διορθώσασθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι, τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτ' εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν, ὃ τοῖς πονηροῖς συμ-

utile est. Sed
Monarchiæ plurimum
quidem tribuunt optimo,
secundũ verò post
illum, tertium verò &
quartum aliis secundum
eandem rationẽ,
& hæc, si non omninò
constituit, sed
hæc voluntas politiæ
talis est. Etquidẽ,
si decet discernere
& naturas hominum
& operationes:
omnes imperia
magis confitebuntur.
Et quis
non optaret sapientiũ
talis Politiæ particeps
esse, in
quâ non lateat bonus
existẽs magis, quãferri
cum populo non
cognitus, qualis
quis sit, sed etiam &
mansuetiorem tantò,

συμφέρον ἐστίν. ἐν δὲ
μοναρχίαις πλεῖστον
μὲν νέμουσι τῷ βελτίστῳ,
δεύτερον δὲ τῷ μετ᾽
ἐκεῖνον, τρίτον δὲ καὶ
τέταρτον τοῖς ἄλλοις
κατὰ τὸν αὐτὸν λόγον,
καὶ ταῦτα, εἰ μὴ πανταχοῦ
καθέστηκε, ἀλλὰ
τόγε βούλημα τῆς πολιτείας
τοιοῦτό ἐστι.
καὶ μὴν εἰ δεῖ διορᾶν,
καὶ τὰς φύσεις τῶν ἀνθρώπων,
καὶ τὰς πράξεις:
ἅπαντες ἂν τὰς
τυραννίδας μᾶλλον ὁμολογήσαιεν.
καὶ τοι
τίς οὐκ ἂν εὔξαιτο τῶν
εὖ φρονούντων, τοιαύτης
πολιτείας μετέχειν, ἐν
ᾗ μὴ διαλήσει χρηστὸς
ὢν μᾶλλον, ἢ φέρεσθαι
μετὰ τοῦ πλήθους, μὴ
γιγνωσκόμενος, ὁποῖός
τίς ἐστιν. ἀλλὰ μὴν καὶ
πρᾳοτέραν τοσούτῳ,

& justiorem meritò ipsam judicamus, quantò facilius est uniꝰ viri sententiæ attendere mentē magis quàm multis mentibꝰ, & variis quærere placere. Quod igitur suavior est, & mansuetior, & justior per plura quidem quis demonstraret. Verúm enimvero & per hæc cognoscere facilè est. De verò reliquis, quantū Monarchiæ & ad consulendum, & ad faciendum aliquid decentium differant, sic sanè optimè considerabimus, si maximas operationū erga se ponentes perpendere suscepimus ipsas, hi igitur secundum an-

καὶ δικαιοτέραν δικαίως ἂν αὐτὴν κρίνοιμεν, ὅσῳπερ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς διανοίαις, καὶ παντοδαπαῖς ζητεῖν ἀρέσκειν, ὅτι μὲν οὖν ἡδίων ἐστὶ καὶ πραοτέρα καὶ δικαιοτέρα διὰ πλειόνων μὲν ἂν τις ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥᾴδιόν ἐστι. περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρχίαι καὶ πρὸς τὸ βουλεύσασθαι, καὶ πρὸς τὸ πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ᾽ ἀλλήλας τιθέντες, ἐξετάζειν ἐπιχειρήσαιμεν αὐτὰς, οἱ μὲν τοίνυν καθ᾽ ἐνι-

num in imperia ingredientes, prius Idiotæ fiunt, quàm ſentiant aliquid civitatis, & accipiant experientiam ipſorũ, hi vero ſemper iisdem, præſidentes, licet & naturam deteriorem habeant: tamen non experientiis multum aliis præſtant. Deinde hi quidẽ multa negligunt ad invicem reſpicientes: hi vero nihil parvi faciunt: ſcientes quod decet omnia per eos fieri. Inſuper quidem in Oligarchiis, & Democratiis, propter erga ſe ipſos ambitionẽ corrumpunt Reſpublicas,

αὐτὴν εἰς τὰς ἀρχὰς εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι, τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν, οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν: ἀλλ' οὖν ταῖς γε ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. ἔπειτα οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες: οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν εἰδότες, ὅτι δεῖ πάντα δι' αὐτῶν γίγνεσθαι. πρὸς δὲ τούτοις, οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις, διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλοτιμίας λυμαίνονται τοῖς κοινοῖς,

hi vero in monarchiis existētes nō habētes, cui invideant, de omnibꝰ, ut possible est optima faciunt. Vlterius, hi quidē invertunt negotia, & enim plurimum tempus in propriis conterunt. Postquam vero ad consessus convenerunt, sæpius fanè quis ipsos inveniat differētes, quā comuni consulentes. Hi vero neq; cōsessibus neq; temporibus ipsis constitutis. Sed & dies, & noctes in negociis existentes, non deficiunt temporibus, sed unū quodq; in decenti faciunt. Insuper hi quidem erga se difficulter affecti sunt,

οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, περὶ ἁπάντων, ὡς οἷόν τ' ἐστὶ τὰ βέλτιστα πράττουσιν. ἔπειτα οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων, τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν. ἐπειδὰν ἢ εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους. οἱ δ' οὔτε συνεδρίων, οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων. ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. ἔτι δ' οἱ μὲν πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι,

καὶ

& vellent sanè & ante se imperantes, & post illos quampessimè administrare urbem, ut quam maximā gloriā ipsi capiant. Hi vero in omni vita Domini rerum existentes, in omne tempus & benevolētiꝰ similiter habent, quod & maximū omniū Etenim Rebuspub. hi quidē ut propriis, illi vero ut alienis attendunt mentem & consiliariis utuntur de iis, hi quidem civium audacissimis, hi vero ex omnibus eligentes sapientissimos, & honorant hi quidem in populis dicere valentes, hi vero uti-

καὶ βούλοιντ᾽ ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τοὺς ἐφ᾽ ἑαυτῶν, ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν᾽ ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσι. οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς πάντα τὸν χρόνον καὶ τὰς εὐνοίας ὁμοίως ἔχουσι. τὸ δὲ μέγιστον πάντων. τοῖς γὰρ κοινοῖς, οἱ μὲν ὡς ἰδίοις, οἱ δ᾽ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν, οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δ᾽ ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι

negotiis sci-
entes; non verò in
circulum redeuntib. &
quotidiè fa-
ctis monarchi-
æ excellunt; verùm et-
iam in bello
excellentias omnes
cōprehenderunt. Ete-
nim præparare po-
tentias, & uti
hisce, ut & la-
teant, & videantur, &
illis quidē persuadere,
hos verò cogere, ex ve-
ro hisce emergere, hos
verò aliis cul-
tibus adducere.
Magis monarchiæ
aliis politiis
possunt, & hæc
ex operibus quis non
minus quàm sermoni-
bus crediderit, hoc
enim Persarum poten-
tiam omnes novimus

τοῖς πράγμασιν ἐπιστα-
μένους; οὐ μόνον δ' ἐν
τοῖς ἐγκυκλίοις, καὶ
τοῖς καθ' ἡμέραν γι-
γνομένοις αἱ μοναρχί-
αι διαφέρουσιν: ἀλλὰ
καὶ τὰς ἐν τῷ πολέμῳ
πλεονεξίας ἁπάσας
περιειλήφασι. καὶ γὰρ
παρασκευάσασθαι δυ-
νάμεις, καὶ χρῆσθαι
ταύταις, ὥστε καὶ λα-
θεῖν, καὶ ὀφθῆναι, καὶ
τοὺς μὲν πεῖσαι, τοὺς
δὲ βιάσασθαι, παρὰ δὲ
τῶν ἐκπρίασθαι, τοὺς
δὲ ταῖς ἄλλαις θερα-
πείαις προσαγαγέσθαι:
μᾶλλον αἱ τυραννίδες
τῶν ἄλλων πολιτειῶν
οἷαί τ' εἰσί, καὶ ταῦτα
ἐκ τῶν ἔργων ἄν τις οὐχ
ἧττον, ἢ τῶν λόγων
πιστεύσειεν, τοῦτο μὲν
γὰρ τὴν τῶν Περσῶν δύ-
ναμιν ἅπαντες ἴσμεν
τη-

tantā quoad magnitudinem factam, non per virorum prudentiam, sed quod magis aliis regnum honorant. Hoc verò Dionysium tyrānum, qui assumens quidē aliam Siciliam vastatam existentem, suam vero Patriam obsessam non solum ipsam à præsentib. periculis liberavit, sed & maximam Græcarum urbium fecit. Insuper Carthaginenses & Lacedæmonios optimè Græcorū Remp. administrantes, domi quidē paucis rectos, in verò bello uno rege utentes. Haberet autem aliquis demōstrare etiam urbem

τηλικαύτην τὸ μέγεθος γεγενημένην οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι: τοῦτο δὲ Διονύσιον τὸν τύραννον, ὃς παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστατον γεγενημένην, τὴν δὲ αὐτοῦ πατρίδα πολιορκουμένην, οὐ μόνον τῶν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ καὶ μεγίστην τῶν ἑλληνίδων πόλεων ἐποίησεν. ἔτι δὲ Καρχηδονίους καὶ λακεδαιμονίους τοὺς ἄριστα τῶν ἑλλήνων πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομένους. ἔχοι δ' ἂν τις ἀποδεῖξαι καὶ τὴν πόλιν τῶν

Ἀθη-

Atheniensiũ, maximè imperia odio persequẽtẽ, quãdo quidẽ multos emiserit duces, afflictam, quando verò plurimũ fecerit pericula, rectè facientem, & quomodo quis magis perspicuè demonstrarit quam per hæc Exempla pluris monarchias faciendas existentes, videntur n. hi perpetuo uno rege recti maximas potẽtias habẽtes; illi verò benè à paucis recti, Circa quę maximè studuerunt, hi quidẽ unũ solum ducem, illi verò regem Exercituum Dominũ constituẽtes: hi odio prosequentes imperia, quando multos imperantes emiserint, nihil decen-

Ἀθηναίων, τὴν μάλιστα τὰς τυραννίδας μισοῦσαν: ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγοὺς, ἀτυχοῦσαν, ὅτι δὲ δι' ἑνὸς ποιῆται τοὺς κινδύνους, κατορθοῦσαν. καί τοι πῶς ἄν τις σαφέστερον ἀποδείξειεν, ἢ διὰ τούτων τῶν παραδειγμάτων πλείστου τὰς μοναρχίας ἀξίας οὔσας, φαίνονται γὰρ οἵ τε διὰ τέλους τυραννούμενοι μεγίστας δυνάμεις ἔχοντες: οἱ δὲ καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μάλιστα σπουδάζουσιν, οἱ μὲν ἕνα μόνον στρατηγὸν, οἱ δὲ βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες: οἵ τε μισοῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, οὐδὲν τῶν δεόν-

tium facientes, si v. deceat aliquid etiã veterũ dicere, dicitur & Deos à Jove regi: de quibus (si quidem oratio vera est) apertũ, quòd & illi hanc constitutionem anteferunt. Si v. id quidẽ perspicuè nemo novit, ipsi v. similiter argumentãtes ita de iis arbitramur: signum quod omnes Monarchiam præferimus. Non enim aliquando ipsâ uti Deos diceremus, nisi longè aliis antecellere eam putaremus. De igitur Politiis, quantum erga se invicem differant, õnia quidem neq; invenire neq; dicere possibile est: Verũ enim verô ad-

των πράττοντες, εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι: περὶ ὧν (εἰ μὲν ὁ λόγος ἀληθής ἐστι) δῆλον, ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν. εἰ δὲ τὸ μὲν σαφῶς μηδεὶς οἶδεν, αὐτοὶ δὲ εἰκάζοντες, οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, σημεῖον, ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν. οὐ γὰρ ἄν ποτε αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν. περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων διαφέρουσιν, ἅπαντα μὲν οὐθ' εὑρεῖν, οὔτ' εἰπεῖν δυνατόν ἐστιν. οὐ μὴν ἀλλὰ πρός γε τὸ

præsens sufficienter, & non dictum de iis. Quod v. convenientes nos imperium habemus, multò hoc brevior, & magis inconfesso sermo est. Quis enim non novit, quòd Teucer quidē generis nostri princeps assumens aliorum civium majores navigans huc, & urbem ipsis condidit, & regionem distribuit. Verum Pater Evagoras perdentibus aliis imperium rursum assumpsit, sustinens maxima pericula: Et tantum cōstituit ut nō amplius Phœnices Salaminiis imperarēt, sed quorum erat à principio, eos & nunc

παρὸν ἐξαρκούντως, καὶ νῦν εἴρηται περὶ αὐτῶν. ὡς δὲ προσηκόντως ἡμεῖς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου συντομώτερος, καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστί. Τίς γὰρ οὐκ οἶδεν, ὅτι Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους, πλεύσας δεῦρο, καὶ πόλιν αὐτοῖς ἔκτισεν, καὶ τὴν χώραν διένειμεν. ὁ δὲ πατὴρ Εὐαγόρας ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς κινδύνους μεγίστους: καὶ τοσοῦτον μετέστησεν, ὥστε μηκέτι Φοίνικας σαλαμινίων τυραννεῖν, ἀλλ' ὧνπερ ἦν τὴν ἀρχὴν, τούτους καὶ νῦν

haberent imperium, Reliquũ igitur est (eorũ) quę proposui, deme discurrere, ut sciatis, quòd talis est vester Rex, qui nõ solùm propter Majores, sed etiam per meipsum meritò sanè & majore honore quàm tanto dign9 sim. Existimo enim ego omnes quidem cõfiteri maximi virtutem faciendas esse, & Sapientiam, & Justitiam, nõ enim solũ nobis secundum se prosunt: Verùm si velimus spectare & naturas, & vires, & usus negotiorum, inveniemus participes existentes nullo modo harũ spe-

ἔχειν τὴν βασιλείαν, λοιπὸν οὖν ἐστιν, ὧν προεθέμην, περὶ ἐμαυτοῦ διελθεῖν, ἵν' ἐπίστησθε, ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μόνον διὰ τοὺς προγόνους, ἀλλὰ καὶ δι' ἐμαυτὸν δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης ἀξιωθείην. οἶμαι γὰρ ἔγωγε πάντας ἂν ὁμολογῆσαι πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι, τήν τε σωφροσύνην, καὶ τὴν δικαιοσύνην, οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' ἀυτὰς ὠφελοῦσιν: ἀλλ' εἰ θέλοιμεν σκοπεῖν καὶ τὰς φύσεις, καὶ τὰς δυνάμεις, καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν τὰς μὲν μετεχούσας μηδαμῶς τούτων τῶν ἰδεῶν,

cierũ magnorũ malorũ causas existentes, cũ Iustitia & Temperantia factas multa vitam hominum juvantes. Si verò quidam veterum propter hasce virtutes benè audierunt, existimo & mihi convenire eam gloriam consequi. Igitur justitiam inde maximè perspicietis. Assumens n. quãdo in imperium constitutus sum, quidẽ regna pecuniis vacua, & omnia consumta, negotia v. turbarum plena, & multæ curæ indigentia, & custodia, & sumptus: Sciens verò reliquos, in talibus temporibus,

δεῶν, μεγάλων κακῶν αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφροσύνης γιγνομένας πολλὰ τὸν βίον ἀνθρώπων ὠφελούσας. εἰ δέ τινες τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν, τῆς αὐτῆς δόξης τυγχάνειν. τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε. παραλαβὼν γὰρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενὰ, καὶ πάντα κατηναλωμένα, τὰ πράγματα δὲ ταραχῆς μεστὰ, καὶ πολλῆς ἐπιμελείας δεόμενα, καὶ φυλακῆς, καὶ δαπάνης: εἰδὼς δὲ ἑτέρους, ἐν τοῖς τοιούτοις καιροῖς,

ἐκ

omni modo sua ipsorum emendantes, & multa præter naturam suam facere coactos: tamen neq; ab uno horum corruptus sum, sed ita sanctè, & benè curam gessi negotiorum, ut nihil defecerit, ex quibus possibile erat augeri, & ad felicitatem perduci urbem. Erga enim cives cum tantâ mansuetudine affectus fui, ut neq; fuga neq; mors neq; opum adjectiones, neq; alia ulla talis calamitas in meo acciderit imperio. Occlusâ verô nobis Græciâ existente propter bellū

ἐκ παντὸς τρόπου τὰ σφέτερα αὐτῶν διορθουμένους, καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὐτῶν πράττειν ἀναγκαζομένους: ὅμως οὐδ᾽ ὑφ᾽ ἑνὸς τούτων διεφθάρην, ἀλλ᾽ οὕτως ὁσίως, καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν, ἐξ ὧν οἷόν τ᾽ ἦν αὐξηθῆναι, καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν, πρός τε γὰρ τοὺς πολίτας μετὰ τοσαύτης πρᾳότητος προσηνέχθην, ὥστε μήτε φυγὰς μήτε θανάτους, μήτε χρημάτων ἀποβολὰς, μήτ᾽ ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας. ἀβάτου δ᾽ ἡμῖν τῆς ἑλλάδος οὔσης διὰ τὸν πόλεμον

factum, & omninò spoliatis nobis, plurima horum rum dissolvi, his quidẽ omnib⁹ persolvens, his verò partes, hos v. morari rogans, ad verò illos, prout potui de criminibus litem dirimẽs, insuper verò & Insulam habitantib. difficulter erga nos dispositis, & rege quidem oratione conciliato, in vero veritate malè habente, utraq; hæc mitigavi, huic quidem alacriter serviens, ergâ verò hos justum meipsum præbẽs. Tantũ enim careo aliena concupiscere, ut alii quidem, etsi paulo majorem

τὸν γεγενημένον, καὶ πανταχοῦ συλουμένων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα, τοῖς μὲν ἅπαντα ἀποτίνων, τοῖς δὲ μέρη, τοὺς δ᾽ ἀναβάλλεσθαι δεόμενος, πρὸς δὲ τοὺς, ὅπως ἠδυνάμην περὶ τῶν ἐγκλημάτων διαλαττόμενος, ἔτι δὲ καὶ τῶν τὴν νῆσον οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ τοῦ βασιλέως τῷ μὲν λόγῳ διηλλαγμένου, τῇ δ᾽ ἀληθείᾳ τραχέως ἔχοντος, ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων. τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ᾽ ἕτεροι μὲν, ἢν καὶ μικρῷ μείζω τῶν

ὁμό-

vicinis potentiā habeant, abſcindunt terrā, & plus habere quærunt. Ego verò neq; datam mihi regionem volui accipere, ſed malo cum juſtitia meam ſolam habere magis, quàm cū malitia multô copioſiorum exiſtēte acquirere. Et quid decet ſecundū unum, quodq; dicērē cōterere, præſertim & breviter habētē manifeſtare de meipſo; Videbor enim neminem unquā injuriâ afficiēs pluribus verò & civium, & aliorum Græcorum benefaciens, & majora bona alterutris dans quàm omnes ante me

ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς, καὶ πλεονεκτεῖν ζητοῦσιν. ἐγὼ δὲ οὐδὲ τὴν διδομένην μοι χώραν ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνην ἔχειν μᾶλλον, ἢ μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρχούσης κτήσασθαι. καὶ τί δεῖ καθ' ἕκαστον λέγοντα διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ; Φανήσομαι γὰρ μηδένα μὲν πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν, καὶ τῶν ἄλλων ἑλλήνων εὖ πεποιηκὼς, καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βα-

regnantes; Et quid decet multùm Sapientes in juſtitia, & utentes pecuniis eſſe meliores tales excellentias habere dicentem de iis: Et quidem etiam de temperantia adhuc majora his habeo exponere. Sciens enim omnes homines plurimi facientes liberos ſuos, & mulieres, & maximè iraſcentes erga hæcce peccantibus, & contumeliam circa hæc maximorũ malorũ causã exiſtentem, & multos jam idiotarum, & potentium propter hanc perditos: Ita fugi culpas has, ut ex quo

βασιλεύσαντες; καὶ τί χρὴ τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ καὶ περαποιουμένους χρημάτων εἶναι κρείττους τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω διελθεῖν. εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς ἑαυτῶν, καὶ τὰς γυναῖκας, καὶ μάλιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη τῶν ἰδιωτῶν, καὶ τῶν δυναστευόντων διὰ ταύτην ἀπολλυμένους, οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστε ἐξ οὗ

regnum accepi nulli appaream corpori, appropinquans, præter meæ uxoris: Non ignorans quòd & illi apud populū benè audiunt, qui circa bona civium justi sunt existentes, aliundè verò sibi præberent voluptates, sed volens simul meipsum quā longissimè facere à talibus suspicionibꝰ, simul v. exemplum constituere mores meos aliis civibus: cognoscēs, quòd solet populus in hisce studiis vitā transigere in quib. regentes suos vident conterentes. Postea etiam con-

τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακὼς, πλὴν τῆς ἐμαυτοῦ γυναικὸς: οὐκ ἀγνοῶν, ὡς κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν, ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν ὄντες, ἄλλοθεν δέ ποθεν ἐπορίσαντο τὰς ἡδονὰς: ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις: γιγνώσκων, ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς ἑαυτῶν ὁρῶσι διατρίβοντας. ἔπειτα καὶ προς-

venire putavi, tantò reges meliores esse Idiotis, quanto etiam honores majores ipsis habeant: & turpia facere, qui alios decentes vivere cogunt, ipsi verò se non temperantiores subditis præbent. Insuper quidem aliorũ negotiorũ videbã continentes, & multos existentes à cupiditatibꝰ verò circa libros & mulieres, & optimos devictos. Volui igitur in his meipsũ demõstrare cõtinere potẽrẽ, in quibꝰ futurus erã, non solum aliis antecellere, verùm etiam virtute prudentibꝰ. Insup. v.

σήκειν ἡγησάμην, τοσούτῳ τοὺς βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν; ὅσαπερ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι: καὶ δεινὰ ποιεῖν, ὅσοι τοὺς μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὐτοὺς μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσι. πρὸς δὲ τούτοις τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς, καὶ τοὺς πολλοὺς γιγνομένους τῶν δὲ ἐπιθυμιῶν, τῶν περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας, καὶ τοὺς βελτίστους ἡττομένους. ἠβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα φρονούντων. ἔτι δὲ

καὶ

& talium multam malitiam damnavi, qui mulieres accipientes, & communionē facientes totius vitæ non amant, quibus fecerunt, sed suis voluptatibus affligunt ipsas, à quib⁹ ipsi non dignantur offendi. Et circa quidē alias cōmunitates quasdam æquos se ipsos præbent: iu verò iis circa mulieres peccant, quas decebat tantò magis custodire, quanto magis familiares & majores existunt aliis. Postea etiam latent intus in ipsis regiis perditiones & dissidia sibi relinquentes. Et sanè decet rectè regentes

καὶ τῶν τοιούτων πολλὴν κακίαν καταγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες, καὶ κοινωνίαν ποιησάμενοι τοῦ βίου, μὴ στέργωσιν, οἷς ἔπραξαν, ἀλλὰ ταῖς αὐτῶν ἡδοναῖς λυπῶσι ταύτας, ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι. καὶ περὶ μὲν ἄλλας κοινωνίας τινὰς ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχωσιν: ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνωσιν: ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳ περ οἰκειότεραι καὶ μείζους οὖσαι τυγχάνουσι τῶν ἄλλων. εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν αὐτοῖς τοῖς βασιλείοις στάσεις, καὶ διαφορὰς ἑαυτοῖς ἐγκαταλείποντες. καί τοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας,

non solum urbes in concordia tentare transigere quibus imperant, sed etiã proprias domus, & loca in quibus habitent. Omnia enim hæc temperantiæ opera & justitiæ sunt. Non eãdẽ v. sentẽtiã habui, neq; de liberorũ procreatione plurimis regum: neque putavi decere hos quidem ex humiliore procreare liberorũ, illos vero ex nobiliore: neque hos quidẽ spurios ipsorũ, illos v. genuinos relinquere, sed omnes habere eandẽ naturam, & ad Patrem & ad matrem referre, mortalium quidẽ ad Evagoram Fatrem meum, sed semi-

μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς ἰδίους οἴκους, καὶ τοὺς τόπους, ἐν οἷς ἂν κατοικῶσιν. ἅπαντα γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστὶν, οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον, οὐδὲ περὶ τῆς παιδοποιΐας τοῖς πλείστοις τῶν βασιλέων: οὐδ᾽ ᾠήθην δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων, τοὺς δὲ ἐκ σεμνοτέρας: οὐδὲ τοὺς μὲν νόθους αὐτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν, καὶ πρὸς πατρὸς, καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν εἰς Εὐαγόραν τὸν πατέρα τὸν ἐμὸν, τῶν δ᾽ ἡμιθέων

deorum ad Æacidas, Deorũ vero ad Iovem & neminem ex me natorum privari hac nobilitate. Multis autem me adhortantibus immunere studiis hiſce non minimè me illud incitavit, quod quidem fortitudinis, & gravitatis, & aliorum benè audientium videbam, & malorum virorum multos participes eſſe, ſed temperantiam, & juſtitiam proprias poſſeſſiones honeſtorum & bonorũ exiſtẽtes. Optimum igitur duxi, ſi quis poſſit hiſce virtutibus attendere mentem, aliis auferens, quarum nulla pars malis

θεῶν εἰς Αἰακίδας. τῶν δὲ θεῶν εἰς Δία, καὶ μηδένα τῶν ἐξ ἐμοῦ γινομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας. πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτηδεύμασι τούτοις: οὐχ ἥκιστά με κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρείας καὶ τῆς δεινότητος, καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας, τὴν δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς προσέχειν τὸν νοῦν, τῶν ἄλλων ἀφελόμενος, ὧν μηδὲν μέρος τοῖς πονηροῖς

adest, sed & maximè legitimæ, & firmissimæ, & maximæ & maximis laudib⁹ dignę sunt existentes. Horum gratia hæc considerans, abundantius aliis exercui Temperantiam, & Justitiam: Et hasce prætuli voluptatibus non in operibus nullum honorem habētes, sed in honoribus per virilitatem existētes. Decet v. probare virtutes non iisdem speciebus omnes sed justitiam in defectib⁹, verúm temperantium in potentiis, sed tolerantiam in Juniorum ætatibus.

μέτεστιν, ἀλλὰ καὶ γνησιώταται καὶ βεβαιόταται, καὶ μέγισαι, καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν οὖσαι. τούτων ἕνεκα ταῦτα διανοηθεὶς, περιττότερον τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην: καὶ ταύτας προειλόμην τῶν ἡδονῶν, οὐ τὰς ἐπὶ τοῖς ἔργοις μηδεμίαν τιμὴν ἐχούσας, ἀλλὰ τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι᾽ ἀνδραγαθίαν γινομένας, χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς, οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην ἐν ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν ταῖς δυναστείαις, τὴν δ᾽ καρτερίαν ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις.

ἐγὼ

Ego igitur in omnibus temporibus hisce videbor exemplū meæ ipsius naturæ dans. Indigens quidē n. opum relictus, ita justum meipsum præbui ut neminē cōtristaverim civiū. Sumēs vero potestatē, ut facerē quod vellem, temperantior idiotis fui: hisce verò utrisq; imperavi, hanc habens ætatem, in quà plurimos inveniremus maximè circa negotia delinquentes, & omnia hæc in aliis quidē similiter cessarē dicere, non tanquam nō honoris amans in factis, sed tanquam non approbatus

ἐγὼ τοίνυν ἐν ἅπασι τοῖς ἡμέραις ταύταις φανήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. ἐνδεὴς μὲν γὰρ χρημάτων καταλειφθεὶς, οὕτω δίκαιον ἐμαυτὸν παρέχον, ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν. λαβὼν δ᾽ ἐξουσίαν, ὥστε ποιεῖν ὅτι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην: τούτων δ᾽ ἀμφοτέρων ἐκράτησα, ταύτην ἔχων τὴν ἡλικίαν, ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν μάλιστα περὶ τὰς πράξεις ἐξαμαρτάνοντας, καὶ πάντα ταῦτα ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν, οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ᾽ ὡς οὐκ ἂν πιστευθεὶς

ex dictis, vos verò ipsi mihi testes estis omniū dictorū. Dignū quidē igitur & natura ornatos existētes laudare & admirari, insuper v. magis etiam cum ratione tales existentes. Quidā enim fortuna, & non scientia sapientes, fortè etiam abducerētur. Qui verò præter natum esse, & cognoscentes, quæ maximū est bonorū virtus, manifestum, quod totā vitā in hac ordinatione permanebunt. Propter ea verò plurimos feci sermones, & de meipso, & de aliis prædictis, ut nullam relinquā excusationē, quod non decet facere vos

ἐκ τῶν λεγομένων, ὑμεῖς δ' αὐτοί μοι μάρτυρές ἐστε πάντων εἰρημένων. ἄξιον μὲν οὖν καὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν, ἔτι δὲ μᾶλλον τοὺς καὶ μετὰ λογισμοῦ τοιούτους ὄντας. οἱ μὲν γὰρ τύχῃ, καὶ μὴ γνώμῃ σωφρονοῦντες, τυχὸν ἂν καὶ μεταπεισθεῖεν. οἱ δὲ πρὸς τῷ πεφυκέναι, καὶ διεγνωκότες, ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή, δῆλον, ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσι. διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων, ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν, ὡς οὐ δεῖ ποιεῖν ὑμᾶς

ἐκ-

voluntarios, & alacriter, quæ ego mandavero, & consuluero. Dico sanè facere unũquẽq; vestrũ, super quib. constitutus est, diligẽter & justè. Secundum utrũ enim omiseritis quid horum, necessarium malè habere operationes. Nihil igitur negligite, neque despicite ordinatorum: arbitrantes quàm nihil præter hæc est, sed quòd circa quamlibet partiũ aut benè aut malè habiturũ universũ, ita studete ipsis, & curã gerite nihil minus meorum, quàm vestrorum ipsorum. Et nõ putate parvum bonum esse honores, quos habent benè nostris

ἑκόντας, καὶ προθύμως, ἅτ' ἂν ἐγὼ προστάξω, καὶ συμβουλεύσω. φημὶ δὴ πράττειν ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέστηκεν, ἐπιμελῶς καὶ δικαίως. καθ' ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων, ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις. μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων: ὑπολαμβάνοντες, ὡς οὐ παρὰ ταῦτ' ἐστὶν, ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν, οὕτω σπουδάζετε περὶ αὐτῶν καὶ κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν, ἢ τῶν ὑμετέρων αὐτῶν. καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμὰς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπι-

præfecti Abstinete ab alienis, ut tutius domus vestrorum ipsorū possideatis. Tales esse decet erga alios vos, qualem me erga vos optatis fieri. Non festinare ditari magis, quam boni videri esse: Cognoscentes, quòd & Græcorum & barbarorū maximas invirtute glorias habētes, plurimorū bonorū domini constituuntur. Lucra præter justum facta, putate non divitias, sed periculum creare. Non quidem accipere esse putate, sed insumere damnum. Neutrū enim horū semper tandē habet potentiā,

ἐπιστατοῦντες. ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε. τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷόνπερ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίνεσθαι. μὴ σπεύδετε πλουτεῖν μᾶλλον, ἢ χρηστοὶ δοκεῖν εἶναι: γιγνώσκοντες, ὅτι καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες, πλείστων ἀγαθῶν δεσπόται καθίστανται. τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους, ἡγεῖσθαι μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν: οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν,

ἀλλ'

ſed utrum in tempore, & cũ virtute fiat, hoc proderit facientibus. Neque erga unũ difficulter affecti estote à me mandatorum: qui enim veſtrum circa plurima meorum utiles ſe præbent, hi plurimum domus ſuas juvabunt. Cujus veſtrum unusquisq; ipſe ſibi ſit conſcius, ſciat neq; me latere. Sed ſi & corpus meum non adſit, tamen mentem meam putet evenientibus adeſſe. Hanc enim ſententiã habẽtes ſapientibus conſulueritis de ipſis. Nihil occultate, neq; eorum, quæ poſſidetis,

ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας. μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων: ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὑτοὺς παράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν. ὅτι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συνειδὼς, ἡγείσθω μηδὲ ἐμὲ λήσειν. ἀλλ' ἐὰν καὶ τὸ ἐμὸν σῶμα μὴ παρῇ, τήνγε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι. ταύτην γὰρ γνώμην ἔχοντες, σωφρονέστερον ἂν βουλεύσαισθε περὶ αὐτῶν: μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε,

neque quæ facitis, neq; quæ vultis facere: Scientes, quòd circa occulta negotiorum necessè est multos timores fieri. Non callidè quærite imperare, nec occultè, sed ita simpliciter & apertè, ut neq;, si quis velit, facilè sit vos calumniari. Probate actiones, & putate malas quidem, quas facientes me velitis latere: Bonas verò, de quib⁹ ego futurus audiens, meliores vos arbitrari. Non reticete, si quosdam videtis circa imperium meum malos existentes, sed redarguite, & putate

μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν: εἰδότες, ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίνεσθαι. μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μηδ' ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς, ὥστε μηδ' ἄν τις βούληται, ῥάδιον εἶναι ὑμᾶς διαβάλλειν. Δοκιμάζετε τὰς πράξεις, καὶ νομίζετε πονηρὰς μὲν, ἃς ἂν πράττοντες ἐμὲ βούλησθε λανθάνειν: χρηστὰς δὲ, περὶ ὧν ἂν ἐγὼ μέλλω πυθόμενος, βελτίους ὑμᾶς νομιεῖν. μὴ κατασιωπᾶτε, ἐάν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε

τῆς

eâdem esse dignos culpa occultantes cum peccantibus. Felices verò putate non latentes, si quid mali fecerint, sed nihil peccantes; illos quidē n. verisimile talia pati, qualia ipsi faciunt: hos verò gratiam accipere, quâ digni sunt existentes. Societates nō facite, neq; cōvēticula absque meâ sententiâ. Nam tales constitutiones, in quidem aliis politiis multū valent, in verò monarchiis periclitantur. Non solum abstinete à peccatis, verùm etiam à studiis hisce, in quib. necessarium est

τῆς αὐτῆς εἶναι ἀξίους ζημίας τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν. εὐτυχεῖς δὲ νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας: τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν, οἷάπερ αὐτοὶ ποιοῦσι: τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνουσιν ὄντες. ἑταιρείας μὴ ποιεῖτε, μήτε συνόδους, ἄνευ τῆς ἐμῆς γνώμης. αἱ γὰρ τοιαῦται συστάσεις, ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν, ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσιν. μὴ μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τῶν τοιούτων, ἐν οἷς ἀναγκαῖόν ἐστιν

ſuſpicionē fieri. Meam amicitiam tutiſſimam & firmiſſimam eſſe putate, & cuſtodite præſentem conſtitutionē, & nullam deſiderate mutationē: ſcientes quòd per haſce turbas, neceſſarium eſt & urbes perire, & domos proprias vaſtas fieri. Non ſolum naturas cauſas putate difficiles aut manſuetos eſſe reges, Verùm etiam mores civium. Multi enim jam propter ſubditorū malitiam, aſperius quàm ſecūdum ſuam ſententiam imperare coacti ſunt Confidite nō propter meā magis mãſuetudinē, quā propter ve-

ὑποψίαν γίνεσθαι. Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην εἶναι νομίζετε, καὶ διαφυλάττετε τὴν παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς: εἰδότες, ὅτι διὰ τὰς τοιαύτας ταραχὰς, ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι, καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι. μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πρᾴους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τῶν πολιτῶν. πολλοὶ γὰρ ἤδη, διὰ τὴν τῶν ἀρχομένων κακίαν, τραχύτερον ἢ κατὰ τὴν ἑαυτῶν γνώμην, ἄρχειν ἠναγκάσθησαν. θαῤῥεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέ-

ſtrã ipſorũ virtutẽ. Meã ſecuritatem licentiam ipſis eſſe putate: Benè enim circa me conſtitutis, ad eundem modum & circa vos ipſos habebũt. Humiles quidẽ eſſe decet circa imperium meum, immanentes moribus, & cuſtodientes leges regias: ſplendidas verò inq; urbe officiis, & à me mandatis. Admonete juniores ad virtutem, nõ ſolum adhortantes, ſed etiã circa negotia demonſtrantes ipſis, quales eſſe decet viros bonos. Docete liberos veſtros ipſorum regi,

ραν αὐτῶν ἀρετήν. τὴν ἐμὴν ἀσφάλειαν ἄδειαν ἑαυτοῖς εἶναι νομίζετε: καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτοὺς ἕξει. Ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμήν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς: λαμπροὺς δ᾽ ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ᾽ ἐμοῦ προσταττομένοις. Προτρέπετε τοὺς νεωτέρους ἐπ᾽ ἀρετήν, μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ἀποδεικνύντες αὐτοῖς, ὁποίους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι,

& circa inſtitutionem talis virtutis aſſuefacite ipſos quam maximè conterere. Si enim regi didicerint, multò magis regere poterunt. Et fideles quidē existentes & juſti participabunt noſtra bona: mali verò exiſtentes periclitabūtur de exiſtentibus. Maximas putate liberis, & firmiſſimas divitias tradere, ſi ipſis poſſitis noſtram benevolētiā relinquere. Miſerrimos putate, & infeliciſſimos, qui circa credentes infideles exiſtunt. Neceſſe enim tales trepidè affectos, & timentes omnes, & nihil magis

καὶ περὶ τὴν παίδευσιν τῆς τοιαύτης ἀρετῆς ἐθίζετε αὐτοὺς ὡς μάλιστα διατρίβειν. ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται. καὶ πιστοὶ μὲν ὄντες καὶ δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν: κακοὶ δὲ γενόμενοι κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων. μέγιστον ἡγεῖσθε τοῖς παισί, καὶ βεβαιότατον πλοῦτον παραδώσειν, ἐὰν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλιπεῖν. ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους, ὅσοι περὶ τοὺς πιστεύσαντας ἄπιστοι γεγόνασιν. ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας, καὶ φοβουμένους ἅπαντας, καὶ μηδὲν μᾶλλον πι-

credentes amicis, quàm inimicis relinquum temp' transigere. Æmulamini nõ plurima possidentes, sed nihil mali sibi ipsis conscios, cùm enim tali anima suavius quis vitam poterit transigere. Non malitiam posse plus virtute prodesse putate, nomẽ vero deterius habere, sed qualia nomina singula rerum cõsecuta sunt, tales putate & potentias eorum esse. Non invidete apud me principibus, sed contendite, & conamini bonos vos ipsos præbentes, assimilari præstantibus:

πιστεύοντας τοῖς φίλοις, ἢ τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας, μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις τὸν βίον δύναιτο διάγειν. μὴ τὴν κακίαν δύνασθαι μὲν πλέον τῆς ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δὲ ὄνομα δυσχερέστερον ἔχειν, ἀλλ' οἵωνπερ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι. μὴ φθονεῖτε τοῖς παρ' ἐμοῦ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντας, ἀξιοῦσθαι τοῖς προέχουσι.

Amare putate decere, & honorare, quos sanè & Rex: ut & apud me cōsequamini eadem: qualia præsente me dicitis, talia & absente sapite. Benevolentiam erga nos, in operibus demonstrate magis, quā sermonibꝰ. Quæ patientes ab aliis irascimini, hæc aliis non facite. De quibꝰ in orationibꝰ accusatis, nihil horum in operibus exercete. Talia expectate facere, qualia de nobis consideratis, Nō solum laudate bonos, sed & imitamini. Orationes meas leges esse putate: & tentate hisce

φιλεῖν οἴεσθε δεῖν, καὶ τιμᾶν, ὥσπερ ἂν καὶ ὁ βασιλεὺς: ἵνα καὶ ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων: οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε. Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον, ἢ τοῖς λόγοις. ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. περὶ ὧν ἐν τοῖς λόγοις κατηγορεῖτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. τοιαῦτα προσδοκᾶτε πράξειν, οἷα ἂν περὶ ἡμῶν διανοῆσθε. μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ μιμεῖσθε. τοὺς λόγους τοὺς ἐμοὺς, νόμους εἶναι νομίζετε: καὶ πειρᾶσθε τούτοις ἐμ-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0122-7

immanere, scientes, quòd maximè faciētib. vestrum, quæ volo, his licet vivere, ut ipsi volunt. Caput verò dictorum: Quales à vobis rectos putatis decere erga vos esse, tales decet circa imperium meum vos fieri. Et hæc si feceritis, quid opꝰ est de accidentibus plura dicere? Si enim ego præbeo talem meipsum, qualem in præterito tempore, & ea à vobis similiter administrantur; celeriter videbitis & vitam vestram ipsorum crevisse, & imperium meum auctum, & urbem felicem factam.

ἐμμένειν, εἰδότες, ὅτι μάλιστα ποιοῦσιν ὑμῶν, ἃ βούλομαι, τούτοις ἔξεσαι ζῆν, ὡς αὐτοὶ βούλονται. Κεφάλαιον δὲ τῶν εἰρημένων: οἵουσπερ ἂν τοὺς ὑφ' ὑμῶν δεχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίνεσθαι. καὶ ταῦτ' ἐὰν ποιῆτε, δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτὸν οἷόνπερ ἐν τῷ παρελθόντι χρόνῳ καὶ τὰ παρ' ὑμῶν ὁμοίως ὑπηρετῆται: ταχέως ὄψεσθε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα, καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην, καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην.

Dignū quidē igitur tātorū bonorū gratia nihil omittere, sed & labores, & pericula quævis sufferre. Vobis verò licet nihil miserè factis, sed fidelibus ſolum & justis existētibꝰ, omnia hæc efficere.

ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους, καὶ κινδύνους οὕς τινας οὖν ὑπενεγκεῖν, ὑμῖν δ᾽ ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν, ἀλλὰ πιστοῖς μόνον καὶ δικαίοις οὖσιν, ἅπαντα ταῦτα διαπράξασθαι.

PLV-

PLVTARCHI CHÆRONENSIS DE PUERORUM INSTITUTIONE.

QVid quis habeat dicere de ingenuorum puerorum educatione, & quô usi boni moribus evadant, agè considerabimꝰ. Melius verò fortasse à generatione incipere primum. Igitur volentibus clarorũ liberorũ fieri patres, præceperim ego, non quibus libet mulieribꝰ cohabitare; dico v. sicut meretricibus aut pellicibus. Nam à matre aut patre non benè natis, indelebilia se-

ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΈΩΣ περὶ παίδων ἀγωγῆς.

ΤΙ' τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς, καί τινι χρώμενοι σπουδαῖοι αὖ τοῖς τρόποις ἀποβαῖεν; φέρε σκεψόμεθα. βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν, ὑποθείμην ἂν ἔγωγε, μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν: λέγω δ' οἷον ἑταίραις ἢ παλλακαῖς. τοῖς γὰρ μητρόθεν ἢ πατρόθεν οὐκ εὖ γεγονόσιν, ἀνεξάλειπτα πα-

quuntur ignobilitatis opprobria in omni vita, & in manibus arguere & convitiari volentibꝰ. Et sapiens erat sané poeta, qui dicit: Quando v. fūdamētū nō ponitur generis rectè, necesse infelices esse posteros. Bonꝰ igitur libertatis thesaurus, nobilitas, cujus sanè plurima ratio habēda, legitimā productionē puerorū expetētibꝰ. Et quidē sanè sensus subdititium & spurium habentium genus, errare & humiliari solet. Et valdè rectè dicēs poeta inquit: In servitutē redigeret n. virū, licet valdè audax sit, quādo cōsciꝰ est Patris

ἐπακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις, καὶ σοφὸς ἦν ἄρα ὁ ποιητής, ὅς φησιν: ὅ που ἣ κρηπὶς μὴ καταβλήθη γένους ὀρθῶς, ἀνάγκη δυςυχεῖν τοὺς ἐκγόνους. καλὸς οὖν παῤῥησίας θησαυρὸς, εὐγένεια ἧς δὴ πλεῖστον λόγον ποιητέον, τοῖς νομίμου παιδοποιΐας γλιχομένοις. καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε, καὶ μάλα ὀρθῶς ὁ λέγων ποιητής φησι: δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ἦ, ὅταν συνειδῇ πατρὸς

ἢ

aut matris malorũ. Si-
cut verbi gratia econ-
tra elatione im-
plentur, & fa-
stu, parentum claro-
rum. Diophantum igi-
tur Themistoclis sæ-
pè dicunt dixisse
& ad multos, quód
quod ipse velit,
hoc & populo, u-
nâ videri Atheniẽsium.
Quæ enim ipse vult,
& mater, quę veró ma-
ter, & Themistocles,
quæ v Themistocles, &
omnes Atheniẽses, O-
mninò v. dignũ lauda-
reLace dæmonios ma-
gnitudinis animi, qui
Archidamum Re-
gem suum mulctarunt
opibus, quòd parvam
quoad staturã mulierẽ
nuptiis accipere susti-
nuit: Subjungentes,

ἢ μητρὸς κακά. ὥσ-
περ ἀμέλει τοὐναντίον
μεγαλαυχίας ἐμπί-
πλανται καὶ φρυάγ-
ματος, οἱ γονέων διασή-
μων. Διόφαντον γοῦν
τὸν Θεμιστοκλέους πολ-
λάκις λέγουσι φάναι
καὶ πρὸς πολλοὺς, ὡς
ὅτι ἂν αὐτὸς βούληται,
τοῦτο καὶ τῷ δήμῳ συν-
δοκεῖν τῷ τῶν ἀθηναίων.
ἃ γὰρ μὲν αὐτὸς ἐθέλει,
καὶ ἡ μήτηρ, ἃ δ᾽ ἂν ἡ μή-
τηρ, καὶ Θεμιστοκλῆς, ἃ δ᾽
ἂν Θεμιστοκλῆς, καὶ πάν-
τες ἀθηναῖοι. πάνυ
ἦ ἄξιον ἐπαινεῖν Λακε-
δαιμονίους τῆς μεγα-
λοφροσύνης, οἵτινες
Ἀρχίδαμον τὸν βασι-
λέα ἑαυτῶν ἐζημίωσαν
χρήμασιν, ὅτι μικρὰν
τὸ μέγεθος γυναῖκα
γάμῳ λαβεῖν ὑπέ-
μεινεν: ὑπειπόντες,
ὡς

quod non Reges, sed reguncules parare ipsis vellet. Habitum autem sit eorũ dicere, quod neq; ab iis antè nos despectũ est. Quodnã? quod gratiâ puerorũ productionis appropinquãtes mulieribus aut omnino sobrios, aut mediocri vinô usos facere decet consuetudinem. Vinosi enim & ebriosi fieri solent, quorũ principiũ seminis Patres in ebrietate faciẽtes extiterunt. Etiã Diogenes puerorum extra ꝯstitutũ videns & dementẽ. Iuvenis, inquit, Pater te ebrius seminavit. Et de generatione hæc dicta sint mihi. De vero

ὡς οὐ βασιλέας, ἀλλὰ βασιλίσκους παρέχειν αὐτοῖς διανοοῖτο. ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὃ περ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωρᾶτο. Ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιΐας πλησιάζοντας ταῖς γυναιξὶν, ἢ τὸ παράπαν ἀοίνους, ἢ μετρίως γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὸν συνουσιασμόν. Φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. ἦ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν, καὶ παραφρονοῦν. Νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε. καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι: περὶ δὲ

τῆς

institutione & sanè dicendum. Vniversim igitur dicēdo, quod de artibus & scientiis dicere consuevimus, idem & de virtute dicendū est. Quare ad perfectam justitiam tria oportet concurrere: Naturā, & rationē, & assuefactionē. Voco v. rationē doctrinā: Mores v. exercitiū. Sunt v. illa quidem principia doctrinæ, hi vero usus curæ, hæc v. extremitates omniū Secundū quod v. defecerit quid horū, secundū hoc necessum claudam fieri virtutem. Etenim natura absq; doctrina Cœcum, sed doctrina absq; naturâ deficiens. Verùm exercitiū absq;

τῆς ἀγωγῆς καὶ δὴ λεκτέον. Καθόλου μὲν οὖν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, ταυτὸ καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐστίν. ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν: φύσιν, καὶ λόγον, καὶ ἔθος: καλῶ δὲ λόγον μὲν τὴν μάθησιν: ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ δὲ ἀκρότητες πάντων. καθ᾽ ὃ δ᾽ ἂν λειφθῇ τι τούτων, κατὰ τοῦτ᾽ ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλὸν, ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές. ἡ δὲ ἄσκησις χωρὶς ἀμ-

ambol⁹ imperfectũ. Sicut autem ad agriculturã primũ quidẽ bonam existere decet terram, insuper agricolã scientem, præterea semina bona: Ad eundẽ modũ terræ quidẽ assimilatur natura, agricolę v. instituens, semini verò rationum præcepta & instituta. Hæc omnia contendens dicerem, quòd convenerunt & conspirârunt in apud omnes decãtatorũ animos. Pythagoræ, & Socratis, & Platonis, & horũ, qui gloriam sẽpiternã cõsecuti sũt. Felix igitur & Deo charus, si cui hæc omnia Deorũ quis tribuit. si verò quis putat,

ἀμφοῖν ἀτελές. ὥσπερ δὲ ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα: τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα διατεινάμενος εἴποιμι, ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρ' ἅπασιν ᾀδομένων ψυχὰς, Πυθαγόρου, καὶ Σωκράτους, καὶ Πλάτωνος, καὶ τῶν, ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. Εὐδαιμον μὲν οὖν καὶ θεοφιλὲς, εἴ τῳ ταῦτα πάντα θεῶν τις ἀπέδωκεν. εἰ δέ τις οἴεται,

τοὺς

non benè natos doctrinam & curam consequẽtes rectam & virtutem, non sanè naturę minutionem in recipientem recurrere sciat, multum, imò omninò peccans. Naturæ enim virtutem corrumpit socordia, malitiam verò corrigit doctrina. Et quidem facilia negligentes fugiunt, sed difficilia curis capiuntur. Disceres v. sanè, quàm expediẽs res & effectrix operum cura & labor est, multa fientium respiciens. Guttæ enim aquæ lapides cavant. Ferrum verò & æs

τοὺς οὐκ εὖ πεφυκότας μαθήσεως καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετὴν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τὸν δεχόμενον ἀναδεγμένην ἴσω, πολλοῦ μᾶλλον ἢ τοῦ παντὸς διαμαρτάνων. Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή. καὶ τὰ μὲν ῥᾳδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐμμελείαις ἁλίσκεται. Καταμάθοις δ' ἄν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστὶν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. Σταγόνες μὲν γὰρ ὕδατος πέτρας κοιλαίνουσι. σίδηρος δὲ καὶ χαλκὸς

ταῖς

attrectationibus manuum conteruntur; verùm curules rotæ labore inflexæ, neq; si fuerit à principio possent capere rectitudinem. Etenim curvos Histrionum baculos dirigere impossibile (est) sed præter naturam labore secundũ naturam est melius. Et sola sanè hæc curæ robur demõstrant; nõ sed & infinita super infinita bona terra fuit, sed neglecta sterilescit, & quantò naturâ melior est, tantò magis non culta per incuriam perditur, sed est quædam dura & asperior quàm decet,

ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται, οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες, οὐδ' ἂν ἔτι φύσιν τὴν ἐξ ἀρχῆς δυναιντο ἂν λαβεῖν εὐθυωρίαν. τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον, ἀλλὰ τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κατὰ φύσιν ἐγένετο κρεῖττον. καὶ μόνα ταῦτα τὴν ἐπιμελείας ἰσχὺν διαδείκνυσιν; οὐκ ἀλλὰ καὶ μύρια ἐπὶ μυρίοις ἀγαθὴ γῆ πέφυκεν, ἀλλὰ ἀμεληθεῖσα χερσοῦται, καὶ ὅσῳ τῇ φύσει βελτίων ἐστί, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι' ἀμέλειαν ἐξαπόλλυται, ἀλλ' ἐστί τις ἀπόκρημνος καὶ τραχυτέρα τοῦ δέοντος,

ἀλλὰ

ſed culta ſtatim generoſos fructus protulit. Quales verò arbores nõneglectæ quidẽ tortuoſæ fiũt,& infructiferę cõſtituuntur, cõſequẽtes v. rectam inſtitutionem fructuoſæ fiunt & maturos fruct⁹ ferẽtes. Quæ v. corporis vis nõ hebeſcit & corrũpitur propter incuriã & luxũ & malũ habitũ? Quę verò infirma natura non exercitantibus & pugilibus plurimum ad robur addidit? Qui v. equi benè in Iuventute domiti nõ obœdiẽtes extiterunt aſſeſſoribus? qui v. indomiti manentes nõ durę cervicis, & feroces evaſerunt? Et quid decet alia admirari? quia

ἀλλὰ γεωργηθεῖσα παραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. Ποῖα δὲ δένδρα, οὐκ ὀλιγωρηθέντα μὲν στρεβλὰ φύεται, καὶ ἄκαρπα καθίσταται, τυχόντα δὲ ὀρθῆς παιδαγωγίας, ἔγκαρπα γίνονται καὶ τελεσφόρα. Ποῖα δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει δι᾽ ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; τίς δὲ ἀσθενὴς φύσις οὐ τοῖς γεγυμνασμένοις καὶ καταθλήσασι, πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; τίνες δ᾽ ἵπποι καλῶς πωλοδαμνηθέντες; οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δ᾽ ἀδάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν; καὶ τί δεῖ ἄλλα θαυμάζειν; ὅπου γε

animalium ferocissimorũ videmꝰ multa & mãsuefacta, & manibꝰ adsueta existentia laboribꝰ. Benè etiã Thessalꝰ, interrogatꝰ, q. sint mãsuetissimi Thessalorũ dixit: cessantes bella gerere. Et quid decet multa dicere. Etenim mos est multi tẽporis & morales virtutes cõsuetudinarias si quis dicat, nõ plꝰ justo dicere videretur. Vno verò de hisce adhuc Exemplo usus desinam etiam de ipsis producere. Lycurgus enim Lacedæmoniorum legislator duos canes eorundẽ parentũ sumẽs nihil similes sibi invicem adduxit, sed hunc qdẽ demõstravit luxui debitũ, & gulosũ, hunc v. vestigia & ve-

τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασσευόμενα, καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; εὖ καὶ ὁ θέτταλος ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἠπιώτατοι θετταλῶν; ἔφη. οἱ παυόμενοι πολεμεῖν, καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἔθος ἐστὶ πολυχρόνιον. καὶ τὰς ἠθικὰς ἀρετὰς οἰκείας ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. Ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν Λακεδαιμονίων νομοθέτης δύο σκύλακας τῶν αὐτῶν γονέων λαβὼν, οὐδὲν ὁμοίους ἀλλήλοις ἤγαγεν ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον, καὶ σιναμωρόν, τὸν δὲ ἐξιχνεύειν καὶ θη-

nari valentē. Insuper aliquādo Lacedæmoniis in hoc congregatis, magnū momētum ad virtutis cōceptū sunt, viri, inquit, Lacedæmonii & mores & informationes, & doctrinæ, & vitæ institutiones. Et ego hæc vobis statim sanè faciam manifesta. Postea adducens duos canes dimisit, ponens in medium patinam & leporē contra catulos, & hic quidem ad leporem cucurrit, hic veró ad patinā cōmotus est. Sed Lacedæmoniis nōdū conjicere valētib⁹, quid ipsi hoc posset, & quid volens canes monstraret: Hi parentum, dixit, eorundem utriq;, diversam v. consequētes

ἐᾶν δυνατόν. Εἶτα ποτὲ τῶν λακεδαιμονίων εἰς ταυτὸ συνειλεγμένων, μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κίνησίν ἐστιν, ἄνδρες, ἔφησε, Λακεδαιμόνιοι, καὶ ἔθη, καὶ παιδεῖαι, καὶ διδασκαλίαι καὶ βίων ἀγωγαί. καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά. εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατ' ἀντὶ τῶν σκυλάκων, καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ἤϊξεν, ὁ δ' ἐπὶ τὴν λοπάδα ὥρμησε. Τῶν δὲ λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπιδείκνυεν: οὗτοι γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρους δὲ τυχόντες

educationē ille quidē luxuriosus, hic v. sectator evasit. Et de quidē morib. & vita sufficiant hæc, de verò nutritione cohærens sanè esset dicere. Decet vero, ut ego dicerē, ipsas matres liberos nutrire, & hisce præbere mammas, majore cū affectu enim nutrient, & per majorem curam, tanquam intrinsecꝰ, & quod dicitur, ab unguiculis teneris amantes liberos. Nutrices vero & altrices benevolentiam subdititiam & ascriptitiam habēt tāquā mercedis amantes. Manifestat v. & natura, quod decet matres, quæ genuerūt, ipsas nutrire & alere. Propterea enim

ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρευτὴς ἀπεβέβηκε. καὶ περὶ μὲν ἐθῶν καὶ βίων ἀρκείτω ταῦτα. περὶ δὲ τροφῆς ἐχόμενον ἂν εἴη λέγειν. Δεῖ δὲ, ὡς ἐγὼ ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν, καὶ τούτοις ὑπέχειν τοὺς μαστούς, συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν καὶ τὸ δὴ λεγόμενον, ἐξ ὀνύχων ἁπαλῶν ἀγαπῶν ἀγαπῶσαι τὰ τέκνα. αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραφον ἔχουσι, ἅτε μισθοῦ φιλοῦσαι. Δηλοῖ δὲ καὶ ἡ φύσις, ὅτι δεῖ τὰς μητέρας, ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν καὶ τρέφειν. διὰ γὰρ τοῦ-

omni animali parienti ex lacte nutritionem præbuit. Sapiēter verò sanè & prudētia duplices indidit mulieribus mammas, ut si & gemelles parerēt, duplices haberent nutritionis fontes. Absq; verò his benevolētiores & amātiores liberis fierent sanè, & per Jovē non immerito. Convictus enim tanquam intentio est benevolētiæ. Etenim animalia à simul nutritis avulsa hæc desiderantia vidētur. Maximè quidem igitur, ut dixi ipsas tentandū liberos nutrire matres. Si v. prorsus impotenter haberēt, aut per corporis imbecillitatē (fieret enim quid etiā ta-

τῷ παντὶ ζώῳ τεκόντι τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησε. Σοφὸν δ' ἄρα καὶ ἡ πρόνοια διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστοὺς, ἵνα καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. χωρὶς δὲ τούτων εὐνούστεραι καὶ φιλητικώτεραι τοῖς τέκνοις γίγνοιντ' ἂν, καὶ μὰ Δία οὐκ ἀπεικότως, ἡ συντροφία γὰρ ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα ταῦτα ποθοῦντα φαίνεται. μάλιστα μὲν οὖν, ὥσπερ ἔφην, αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας, εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθένειαν (γένοιτο γὰρ ἄν τι καὶ τοιοῦ-

le, aut aliorum liberorum festinātes generationem, sed nutrices, & altrices non quaslibet, sed quā maximè honestas probandum est. Primū quidem moribꝰ graecas, queadmodū enim membra corporis statim à generatione fingere liberorū necesse est, ut haec recta & inflexa fiant. Ad eundem modum à principio liberorū mores cōponere cōvenit. Facilè formatu n. & humidū juvētꝰ, & eorum animis mollibus adhuc doctrinae instillantur. Omne verò durum difficulter mollitur. Quemadmodum enim sigilla mollibus imprimuntur ceris, sic doctrinae insi-

τον ἢ πρὸς ἑτέρων τέκνων ἀποδοῦσαι γένεσιν, ἀλλὰ γάρ γε τίτθας, καὶ τροφοὺς οὐ τὰς τυχούσας, ἀλλ' ὡς ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. Πρῶτον μὲν τοῖς ἤθεσιν ἑλληνίδας, ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραφῆ φύηται. τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς καὶ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει: εὔπλαστον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται. Πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. Καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ἐναποτυ-

gũtur adhuc juvenũ animab⁹. Et mihi videtur Plato divinus diligẽter adhortari nutrices, non quaslibet fabulas pueris dicere, ne horum animas à principio stultitiâ & corruptione impleri accidat. Videtur verò & Phocylides poeta benè admonere dicens: decet puerũ existentẽ bona docere opera. Non igitur neq; hoc relinquere dignum est, quòd & pueros futuros alumnis inservire, & hisce convictores fieri. Quærendi primum quidem honesti moribus, insuper græca, & plana loqui, ut non

πτοῦνται ταῖς τῶν ἔτι παίδων ψυχαῖς. καί μοι δοκεῖ Πλάτων ὁ δαιμόνιος ἐμμελῶς παραινεῖν ταῖς τίτθαις, μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς ἀνοίας καὶ διαφθορᾶς ἀναπίμπλασθαι συμβαίνῃ. κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν λέγων: χρὴ παῖδ᾽ ἔτ᾽ ἐόντα καλὰ διδασκέμεν ἔργα. οὐ τοίνυν οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν, καὶ τούτοις σύντροφα γίνεσθαι. ζητητέον πρώτιστα μὲν σπουδαῖα τοὺς τρόπους, ἔτι μέντοι ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, ἵνα

unà infecti cum barbaris, & ad mores im probis, referant quid eorum malitiæ. Et proverbio loquentes dicunt nō absurdè loquentes, quod, si cū claudo habites, subclaudicare discas. Postquā igitur ætatem sumpserūt, sub pædagogis ordinandi, tunc sanè cura habenda horū constitutionis, ne lateant mancipiis aut barbaris, aut ventosis liberos tradentes. Insupèr nunc fiens multis valdé ridiculum est. Nam servorum bonorum hos quidem agricolas designant, hos verò nautas, hos mertatores, illos œcono-

συναναχρωννύμενοι βαρβάροις, καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρωνταί τι τῆς ἐκείνων φαυλότητος, καὶ οἱ παροιμιαζόμενοι δέ φασιν οὐκ ἀπὸ τρόπου λέγοντες, ὅτι, ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν, ὑπὸ παιδαγωγοῖς τετάχθαι, ἐνταῦθα δὴ ἐπιμέλειαν ἐκτέον τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ βαρβάροις, ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς ὑπερκαταγέλαστόν ἐστι. τῶν γὰρ δούλων τῶν σπουδαίων μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους, τοὺς δ᾽ ἐμπόρους, τοὺς δ᾽ οἰκονόμους,

mos, alios v. lucratores, Quod v. in venerũt mancipium vinoſum & guloſum ad omnem operationem inutile, huic ferentes ſubjiciunt filios. Decet vero probum Pædagogum talem eſſe quo ad naturã, qualis erat Phœnix Achillis Pædagogus. Omniũ v. maximũ, & præſtantiſſimum dictorum venio dicturus. Præceptores enim quærendi ſunt liberis, qui & vita ſint nullâ calumniâ digni, & moribꝰ irreprehenſibiles, & peritiis optimi. Fons enim & radix honeſtatis legitimam cõſequi inſtitutionem. Et quẽadmodũ pedamẽta agricolæ plantis

μους, τοὺς δὲ, δανειστάς, ὅτι δ' ἂν εὕρωσιν ἀνδράποδον, οἰνόληπτον καὶ λίχνον πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν, οἷόσπερ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. τὸ δὴ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι φράσων. Διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. πηγὴ γὰρ καὶ ῥίζα καλοκἀγαθίας τὸ νομίμου τυχεῖν παιδείας. καὶ καθάπερ τὰς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς

apponunt, ita legitimi præceptorum diligentia præcepta & instituta adjungunt juvenibus, ut justi ipsorum germinēt mores. Nunc verò quis & conspuit Patres singulos, qui antequam probent futuros docere per inscientiā aliquando etiam per imperitiā, hominibꝰ nō probatis, & obscuris tradunt liberos. Et nondū hoc est ridiculum, si & per inscientiam illud faciunt: Hoc verò extremè absurdum. Quodnā? aliquādo n. sciētes (sentientibus magis ipsis hoc dicentibꝰ) singulorum instituentium imperitiam simul & ma-

παρατιθέασιν, οὕτως δὲ νόμιμοι τῶν διδασκάλων ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνοι τὰ ἤθη. Νῦν δέ τις καὶ καταπλύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἄγνοιαν ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. καὶ οὔπω τοῦτ' ἐστὶ καταγέλαστον, εἰ καὶ δι' ἀπειρίαν αὐτὸ πράττουσιν. ἐκεῖνο δ' ἐσχάτως ἄτοπον. τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες (αἰσθομένων μᾶλλον αὐτοῖς τοῦτο λεγόντων) τὴν ἐνίων τῶν παιδευόντων ἀπειρίαν ἅμα καὶ μοχθη-

litiam, tamen iis committunt pueros. Siquidem placentium victi assentationib⁹, sunt v. hi petentib⁹ gratificātes, amicis similiter facientes, ac si quis corpore laborans cum scientia potentem servare relinquēs, amico gratificans per inscitiam perdentem ipsum præeligeret; aut nautam optimum relinquēs pessimū approbaret, amico petente. Iupiter & Dii omnes, Pater quis vocatus pluris petentium facit gratiam, quam liberorum institutionem. In super non verisimilia sæpè Crates ille vetus dixit, quòd

χθηρίαν, ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας. οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις, εἰσὶ δὲ οἱ δεομένοις χαριζόμενοι φίλοις παρόμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων, τὸν σὺν ἐπιστήμῃ δυνηθέντα ἂν σῶσαι παραλιπών, φίλῳ χαριζόμενος δι' ἀπειρίαν ἀπολέσοντα ἂν αὐτὸν προέλοιτο, ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς τὸν χείριστον δοκιμάσαι, φίλου δεηθέντος. Ζεῦ καὶ θεοὶ πάντες, πατήρ τις καλούμενος πλείω λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος, ἢ τῆς τῶν τέκνων παιδεύσεως. εἶτ' οὐκ εὖ τὰ πολλάκις ὁ Κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι

εἴπερ

si possibile esset ascendentem ad celsissimam urbis partem: O homines quo ferimini? qui pecuniarū quidem possessionem circa omnē facitis diligentiam, filiorū v. quib. has relicturi estis, parum curam geritis. His vero sanè ego apponerem, quód tales Patres similiter faciunt, ac si quis quidem calcei curam gerat, sed pedem parvi faciat: multi verò eò patrum perveniunt avaritiæ simul, & odii liberorum, ut, ne majorem mercedē faciant, homines nullâ re dignos eligant liberis institutores, vilē ingnorantiā

εἴπερ ἄρα δυνατὸν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως μέρος. ὦ ἄνθρωποι, ποῖ φέρεσθε; οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπουδὴν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε; τούτοις δ' αὖ ἔγωγε προσθείην, ὅτι οἱ τοιοῦτοι πατέρες παραπλήσιον ποιοῦσιν, οἷον εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζει, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχει. πολλοὶ δὲ εἰς τοσοῦτον τῶν πατέρων προβαίνουσι φιλαργυρίας ἅμα, καὶ μισοτεκνίας, ὥσθ' ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτὰς, εὔωνον ἀμαθίαν διώ-

sequētes. Verè etiā Ari-
stippus non insulsè,
sed & valdè eleganter
elusit voce Pa-
trem mente & sensibus
vacuū. Inter rogante n.
quodā ipsum, quantū
peteret mercedis pro
pueri institutione: mil-
le, inquit, drachmas,
eo verò, Hercules, dicē
te, quàm valdè magnū
postulatū, possū enim
mancipiū mille emere
(drachmis.) Igitur dixit
duo habebis mācipia,
& Filium, & quem e-
meris. Vniversū verò
quomodo nō absurdū?
quidem dextra adsuefa
cere liberos accipere
cibos, & si protēderint
sinistram reprehēdere,
nullam verò facere
providentiā orationes
dextras & legitimas

διώκοντες. ἢ καὶ Ἀρίστιπ-
πος οὐκ ἀκόμψως,
ἀλλὰ καὶ πάνυ ἀστείως
ἐπέσκωψε τῷ λόγῳ
πατέρα νοῦ καὶ φρενῶν
κενόν. ἐρωτήσαντος γάρ
τινος αὐτὸν, πόσον αἰ-
τοίη μισθὸν ὑπὲρ τῆς τοῦ
τέκνου παιδεύσεως: χι-
λίας, ἔφη, δραχμάς.
τοῦ δ᾽, ἡράκλης, εἰπόν-
τος, ὑπέρπολυ τὸ αἴτη-
μα, δύναμαι γὰρ ἀν-
δράποδον χιλίων πρία-
σθαι. τοιγαροῦν, εἶπε,
δύο ἕξεις ἀνδράποδα,
καὶ τὸν υἱὸν, καὶ ὃν ἂν
πρίῃ. Τὸ δὲ ὅλον πῶς
οὐκ ἄτοπον; τῇ μὲν δε-
ξιᾷ συνεθίζειν τὰ παι-
δία δέχεσθαι τὰς τρο-
φὰς, κἂν προτείνειε
τὴν ἀριστερὰν ἐπιτιμᾶν,
μηδεμίαν δὲ ποιεῖσθαι
πρόνοιαν τοῦ λόγων
ἐπιδεξίων καὶ νομίμων
ἀκȣ.

audiēdi. Quid igitur accidit mirabilib⁹ Patrib⁹, postquā malè quidē nutriverint, malè verò instituerint liberos, Ego dicam: Quando n. ad viros adscripti salutarem & ordinatā vitam negligunt. Ad verò inordinatas & serviles voluptates seipsos præcipitant. Tū demū pœnitet eos puerorum prodentes institutionē, quod nullam utilitatem illorū peccatis ægrè ferentes. Hi quidē enim ipsorū assentatores & parasitos assumunt homines obscuros & execrabiles, & juventutis eversores & corruptores, hi v. quidem scorta & humi-

ἀκούειν. τί οὖν συμβαίνει τοῖς θαυμαστοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τοὺς υἱούς. ἐγὼ φράσω: ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφθέντες τοῦ μὲν ὑγιαίνοντος καὶ τεταγμένου βίου καταφρονήσωσιν. ἐπὶ δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτοὺς κρημνήσωσι τότε δὴ μεταμελοῦνται τὴν τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτι οὐδὲν ὄφελος τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. οἱ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν ἀνθρώπους ἀσήμους καὶ καταράτους, καὶ τῆς νεότητος ἀνατροπέας καὶ λυμεῶνας, οἱ δέ τινες ἑταίρας καὶ χαμαι-

recūbētes redimūt protervas, & sumptuosas; hi verò absumunt, alii v. ad cōmessationes & aleam deflectunt. Jam verò quidam & adolescentiū tanguntur malis scortantes & ad bacchum euntes, & unā voluptatē morte honorantes. Philosopho autē cōversantes, non similibus negotiis seipsos obediētes præbuerunt. Et hoc præceptum Diogenis didicit, qui insolēter quidem verbis, verè verò rebus adhortatur, & dicit: ingredere in lupanar aliquô, ut discas quod indignis honorat nihil differāt. Cōprehendens igitur ego dico, & vaticinari magis quàm

τύπας λυτροῦνται σοβαρὰς καὶ πολυτελεῖς: οἱ δὲ κατοψοφαγοῦσιν, οἱ δὲ εἰς κύβους, καὶ κώμους ἐξοκέλλουσιν. ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν μοιχεύοντες καὶ κιττοφοροῦντες, καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. Φιλοσόφῳ δὲ ὁμιλήσαντες, οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέχοντο. καὶ τόγε παράγγελμα τοῦ Διογένους ἔμαθον ἄν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖν καί φησιν, εἴσελθε εἰς πορνεῖόν που ἵνα μάθῃς, ὅτι τῶν ἀναξίων τὰ τίμια οὐδὲν διαφέρει. Συνελὼν τοίνυν ἐγώ φημι καὶ χρησμολογεῖν μᾶλλον ἢ

πα-

adhortari vidētur sanè meritò, quod unū primū & medium & ultimū in hisce caput educatio honesta & institutio legitima est, & hæc ferentia, & cooperantia ad virtutem & ad felicitatem dico, & quidem alia bonorum humana & parva, & non digna studio constituta sunt. Nobilitas bonū quidē sed majorum bonum. Divitiæ v. honorādum quidē, sed fortunæ possessio. Quoniā quidem habentibus sæpè ablatum est, verùm nō sperantibus ferens attulit, & multæ divitiæ scopus jacent volentibus marsupia spoliare, malis servis & Sycophantis.

προφαίνειν δόξαιμ' ἂν εἰκότως, ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι. καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμονίαν φημί, καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρὰ καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. εὐγένεια καλὸν μέν, ἀλλὰ προγόνων ἀγαθόν. πλοῦτος δὲ τίμιον μέν, ἀλλὰ τύχης κτῆμα. ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δὲ οὐκ ἐλπίσασι φέρουσα προσήνεγκε, καὶ ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις.

καὶ

Etquod maximũ, quòd & pessimis adest. Gloria quidẽ venerabile, sed instabile. Pulchritudo verò expetenda quidẽ, sed parvi tẽporis. Sanitas v. honorād. sed facilè nutabile. Robur v. laudabile quidẽ, sed morbo facile corruptibile & senectute. Vniversim v. si quis super corporis robore cõfidit, discat à sẽtẽtia aberrans. Quantò enim est robur hominũ minꝰ aliorũ animantiũ potẽtiâ, dico verò, ut Elephantorum & taurorum, & leonũ. Institutio v. eorũ in nobis solũ est immortale & divinũ. Et duo hęc omnium sunt prestantissima in humana natura, mẽs & oratio. Et quidem

καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. Δόξα γε μὴν σεμνὸν ἀλλ' ἀβέβαιον. κάλλος δὲ περιμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ τίμιον μὲν, ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ, τὸ δ' ὅλον, εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόσον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη, ἥττων τῆς τῶν ἄλλων ζώων δυνάμεως; λέγω δὲ, οἷον ἐλεφάντων, καὶ ταύρων, καὶ λεόντων. παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν τῇ ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. καὶ ὁ μὲν

mens princeps est orationis, oratio vero servus mētis, fortunæ quidem nō cōsumptibilis calumnia v. non auferibilis, morbo ac incorruptibilis, senectute v. nō consumptibilis. Sola n. mens senescens juvenescit. Et temp⁹ alia omnia auferens, senectuti addit scientiam. Equidem bellum fluvii instar omnia vastans & omnia auferens, solum non potest institutionem auferre. Et mihi videtur Stilpon Megarensis Philosophus dignam memoria fecisse responsionem, quando Demetrius viris privans urbem ad solum dejecit, &

νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δὲ ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. καὶ ὁ χρόνος τἄλλα πάντα ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὅγε μὴν πόλεμος χειμάρρου δίκην, πάντα σύρων καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. καί μοι δοκεῖ Στίλπων ὁ μεγαρεὺς φιλόσοφος ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλ-

Stilponē interrogaret numquid amisisset; & ille, non sanè dixit, bellum enim non spoliat virtutem. Consona v. & conveniens etiam Socratis responsio huic apparet. Et enim hic interrogante ipsum (ut mihi videtur) Gorgia quam habeat de magno rege sententiam, & num putet eum felicem esse. Nescio, dixit, quomodo virtute & institutione affectus sit. tanquam felicitate in his non infortuitis bonis positâ. Quemadmodum v. admoneo institutionis liberorum nihil haberi antiquius: sic rursum dico

Στίλπωνα ἤρετο, μή τι ἀπολωλεκὼς εἴη; καὶ ὅς οὐ δῆτα, εἶπε, πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. Σύμφωνος δὲ καὶ συνῳδός ἐστιν ἡ Σωκράτους ἀπόκρισις ταύτη φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτὸν (μοὶ δοκεῖ) Γοργίου, ἣν ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζει τοῦτον εὐδαίμονα εἶναι. οὐκ οἶδα, ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει. ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. ὥσπερ δὲ παραινῶ, τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι προυργιαίτερον: οὕτως αὖ πάλιν φημὶ

oportere incorruptam & sanam haberi. A verò popularibꝰ nugis quàm longissimè filios abducere. Etenim vulgo placere, sapientibus est displicere. Testatur verò meæ orationi & Euripides dicens; Ego verò imperitus ad populũ facere verba, ad æquales verò & paucos sapiẽtior, habet verò & locũ hoc. Etenim in sapientibus inepti apud populũ elegãtiores dicere. Video verò ego vilibus plebeculis placidè & gratiosè studientes, & quoad vitam tanquã multũ intemperantes & voluptarios evadentes, & per Iovem meritò.

δεῖν τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι. Τῶν δὲ πανηγυρικῶν λήρων ὡς πορρωτάτω τοὺς υἱοὺς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν, σοφοῖς ἐστὶν ἀπαρέσκειν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης, λέγων: Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον, εἰς ἥλικας δὲ κ' ὀλίγους σοφώτερος, ἔχει δὲ καὶ μοῖραν τόδε. Οἱ γὰρ ἐν σοφοῖς φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι, λέγειν. Ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας, καὶ νὴ Δί' εἰκότως.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0152-3

Si enim aliis voluptates præparantes, negligant honestū forsan & propriam voluptatem atq; luxum pluris quàm rectum & sanum facturi sunt, aut sapiens pro delectabili sequerentur. Insuper quid sanè pueros utile aliud docebimus, & quibus bonis assuefieri incitabimus; Bonum enim nihil frustra neq; dicere neq; agere, & secundū proverbium: Difficilia quę pulchra. Extemporanei v. sermonum multæ facilitatis & levitatis sunt plenæ neq; unde incipiendū, neq; ubi quiescendū sit sciētium. Absq; veró aliis peccatis

εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες, ἀμελοῦσι τοῦ καλοῦ, χολῆγ αὐτῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σώφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. πρὸς δὲ τούτοις, τί αὖ τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, καὶ τίσιν ἀγαθοῖς ἐπιφύεσθαι παραινέσαιμεν; καλὸν γάρ τοι μηδὲν εἰκῆ, μήτε λέγειν, μήτε πράττειν, καὶ κατὰ τὴν παροιμίαν: Χαλεπὰ τὰ καλά. Οἱ δ' αὐτοσχέδιοι τῶν λόγων πολλῆς εὐχερείας καὶ ῥαδιουργίας εἰσὶ πλήρεις. οὐθ' ὅθεν ἀρκτέον, οὐδ' ὅπου παυστέον εἰδότων. Χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων

qui ex tempore dicũt, in immoderationem gravem incidunt & multiloquentiã Conſideratio v. nõ ſinit convenienti moderatione orationem excidere: Pericles, ut nobis audire traditum eſt, vocatus à populo ſæpè non obtemperavit dicens, inordinatum ſe eſſe. Similiter v. & Demoſthenes æmulator talis politiæ exiſtens, vocantibus ipſum Athenienſibus conſiliarium, recuſavit, nõ ordinatus ſum, dicens. Et hæc quidem fortaſſe abſq; autore eſt, & ficta traditio. In vero de Midia oratione cõſiderationis utilitatem evidẽter apponit,

οἱ αὖ ἐκ τοῦ παραχρῆμα λέγωσιν, ἐς ἀμετρίαν δεινὴν ἐμπίπτουσι, καὶ πολυλογίαν. Σκέψις δ' οὐκ ἐᾷ τῆς ἱκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου πολλάκις οὐχ ὑπήκουσε, λέγων, ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ ὁ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι λέγων. καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι, καὶ πεπυκασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ Μειδίου λόγῳ τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι, φησὶ

dicit igitur: Ego v. me permeditatũ quidẽ, ô Atheniẽses dico, & nõ inficias irem, me curã adhibuisse, quantũ inerat in me. Et enim sanè miser essem, si talia passus & perferens negligerẽ (ea) quæ de iis dicere futurus eram. Sed omninò improbare orationũ promptitudinẽ, aut rursus eam non indigno exercere, non dicerem Ego, sed tanquã in medicinæ officio hoc faciendum est. Ante vero virilem ætatem nihil ex tempore puto dicere, sed quando quis cõfirmarit potentiam, tum temporibus vocantibus liberè loqui

Φησὶ γοῦν· Ἐγὼ δὲ ἐσκέφθαι μὲν, ὦ Ἀθηναῖοι φημὶ, καὶ οὐκ ἂν ἀρνηθείην, καταμεμελετηκέναι γε, ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν, ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. Τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε. ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο ποιητέον ἐστί. Μέχρι δὲ τῆς τῶν ἀνδρῶν ἡλικίας, οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν, ἀλλ' ὅταν τις ῥιζώσῃ τὴν δύναμιν, τότε τῶν καιρῶν καλούντων, ἐλευθεριάζειν

orationibus convenit. Quēadmodū n. longū tempus vincti, etsi soluti sunt deinde, sub diuturnā vinculorū cōsuetudine nō valentes ambulare subclaudicant. Ad eundē modū longo tempore orationem stringētes, etiāsi aliquando ex tēpore oportet dicere, nihil minus ad eundem modū interpretationis characterem custodiunt. Adhuc v. pueros existentes sinere ex tēpore dicere vaniloquētiæ extremæ causa est. Pictor dicunt miser Apelli mōstrās imaginē, hanc inquit, modò scripsi, hic verò licet nō dixeris, inquit, scio, quod celeriter scripta est

τοῖς λόγοις προσῆκεν. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες, κἂν λυθεῖεν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκάζονται. τὸν αὐτὸν τρόπον πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν εἴποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τρόπον τῆς ἑρμηνείας χαρακτῆρα φυλάσσουσι. Τὸ δ' ἔτι παῖδας ὄντας ἐᾶν ἐπὶ καιροῦ λέγειν, ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. ζωγράφος (φασὶν) ἄθλιος Ἀπελλῇ δείξας εἰκόνα ταύτην, ἔφη, νῦν γέγραφα, ὅδε καὶ ἣν μὴ λέγῃς, εἶπεν, οἶδα, ὅτι ταχὺ γέγραπται.

θαυ-

Admiror v. quomodo non tales plures scripseris. Sicut igitur (revertor enim ad à principio orationis propositum) theatricam, & tragicam, sic rursus & parviloquentiam dictionis & humilitatem adhortor vitare & fugere. Illa enim fastuosa, nõ civilis est, hæc v. gracilis nimis inepta ad percellendũ. Sicut verò corpus non solum validum, sed etiam benè cõstitutum esse decet, & orationẽ similiter nõ absq; morbo tantum, sed etiã firmam esse dècet, Etenim firmum laudatur solùm, sed periculosum etiã in admiratione est. Hãc verò existo

θαυμάζω δὲ, πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. ὥσπερ τοίνυν (ἐπανάγω γὰρ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν) τὴν θεατρικὴν, καὶ παρατράγωδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως, καὶ ταπείνωσιν παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν. ἡ μὲν γὰρ ὑπέρογκος, ἀπολίτευτός ἐστιν, ἡ δὲ ἰσχνὴ, λίαν ἀνέπληκτος. Καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινὸν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρὴ, καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον, ἀλλὰ καὶ ἔυρωστον εἶναι δεῖ, τὸ μὲν γὰρ ἀσφαλὲς ἐπαινεῖται μόνον, τὸ δ' ἐπικίνδυνον καὶ θαυμάζεται. Τὴν δὲ τυγχάνω

sententiā habens,& de in anima dispositione; neq; enim ferocē, neq; timidum & abjectum decet esse: illud enim ad impudentiā, hoc verò ad servitium astat. Artificiosum verò mediam in omnibus servare accuratissime. Volo a. dum adhuc memini institutionis, quod habeo sententiā de ea dicere, quod uniformē orationē primū quidē imperitię nō parvum facio signum: Postea verò etiam ad exercitiū fastidiosum, & omnino nō diu manēs esse existimo. Vnison⁹ enim in omnib⁹ est sacietatem ferens & offendens: Varietas verò

γνώμην ἔχων, καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως; οὔτε γὰρ θρασὺν οὔτ' ἄτολμον, καὶ καταπλῆγα προσήκειν εἶναι: τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περιΐσταται. ἔντεχνον δὲ τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέστατα. βούλομαι δ', ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν, ὅτι τὸν μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον. ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον, καὶ πάντη ἀνεπίμονον εἶναι νομίζω. μονῳδία γὰρ ἐν ἅπασίν ἐστι πλησμιόν τε καὶ προσάντες: ἡ δὲ ποικιλία

περι

delectans, quemadmodum & aliis omnibus, scil. auditionibus ac spectaculis. Decet igitur puerum liberalem nullius neq; aliarum vocatarum circularium doctrinarum neq; inauditum, neq; in adspectum pati esse, sed hæc quidem ex transcursu discere, tanquam gustus gratiâ (in omnibus enim perfectū impossibile) Philosophiam verò colere. Habeo verò per similitudinē illustrare meam sententiā. Quēadmodū n. circūnavigare quidē multas urbes honestū, inhabitare verò fortissimā, utile. Vrbanè verò & Bion dixit Philosophus

τερπνόν, καθάπερ κἀν τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν, ἢ θεάμασι. Δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον μηδενὸς μηδὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων, μήτε ἀνήκοον, μήδε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν, ὥσπερ γεύματος ἕνεκεν (ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον) τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. Ἔχω δὲ δι' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην. ὥσπερ γὰρ περιπλεῦσαι μὲν πολλὰς πόλεις καλὸν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος,

ὅτι

quòd veluti proci Penelopæ appropinquare non valentes, ejus commixti sunt ancillis, sic & Philoſophiam non potentes conſequi, in aliis doctrinis nullius momenti ſeipſos macerãt. Itaq; oportet alius institutionis tanquam caput facere Philoſophiam. Circa enim corporis curam duplices invenerunt ſcientias homines, medicinam & gymnaſticã, quarũ illa quidẽ ſanitatẽ, hæc v. bonũ habitũ imponit: verùm animę imbecillitatum & affectuum Philoſophia ſola remedium eſt. Per enim hãc eſt, & cum hâc,

ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις ἑαυτοὺς κατασκελετεύουσι. Διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν. περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν, διττὰς εὗρον ἐπιστήμας ἄνθρωποι, τὴν ἰατρικὴν καὶ τὴν γυμναστικὴν, ὧν ἡ μὲν τὴν ὑγίειαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. τῶν δὲ τῆς ψυχῆς ἀῤῥωστημάτων καὶ παθῶν ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. Διὰ γὰρ ταύτην ἐστὶ, καὶ μετὰ ταύτης,

γνῶ-

cognoscere, quid honestum quid turpe, quid justum, quid injustum, quid summatim eligēdū, aut fugiēdum, quomodo Diis, quom. parētib. quom. seniorib⁹, quom. legib⁹, quom. alienis, quom. principib⁹, quo. amicis quom. mulierib⁹. quom. liberis, quom. servis utēdū sit. Quòd decet Deos quidē colere parētes v. honorare, seniores revereri, legibus obtēperare, imperantib⁹ obedire, amicos diligere; Erga mulieres tēperantem esse, puerorum amantes esse, servos nō nimis contumeliari, & quod maximū, neq; in bonis reb⁹ nimium lætos, neq; in malis nimium tristes existere.

γνῶναι, τί τὸ καλὸν, τί τὸ αἰσχρὸν, τί τὸ δίκαιον, τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετὸν; ἢ φευκτὸν; πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις; πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξὶ, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστὶν, ὅτι δεῖ θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν; πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν, τὸ δὲ μέγιστον, μήτ' ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτ' ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν,

stere, neq; in voluptatibus dissolutos esse, in ira affectuosos & beluinos. Quæ Ego omnium ex Philosophia cõtingentium bonorũ antiquissima judico. Etenim ingenuè bonâ fortuna uti, viri: Sed absq; invidia obedientis hominis: Sed rationibus superare voluptates, sapientũ: Sed iram moderari viri non cujus libet est. Perfectos verò homines arbitror valentes politicam potentiã miscere & conjungere Philosophiæ: & duobus existẽtib⁹ maximis bonis, eminentes existere puto universum utilis vitæ subditos; &

χειν, μήτ' ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτ' ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις. ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν πρεσβύτατα κρίνω. Τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός: τὸ δ' ἀνεπιφθόνως, εὐηνίου ἀνθρώπου: Τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν: τὸ δ' ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. Τελείους δ' ἀνθρώπους ἡγοῦμαι τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μῖξαι καὶ κεράσαι τῇ φιλοσοφίᾳ: καὶ δυοῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν, ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦτε κοινωφελοῦς βίου πολιτευομένους, τοῦτε

ἀκυ-

tranquillæ & pacificæ
cōterentes circa Philo-
sophiam. Tribus enim
existentibus vitis, qua-
rū hęc quidē est practi-
ca, hęc v. contēplativa,
hæc verò voluptuosa,
Hæc quidē dissoluta &
serva voluptatum, be-
luina, & parum de-
cens est: cōtemplativa
verò ab activâ
aberrans, inu-
tilis, verùm acti-
va carens Phi-
losophia, inconcinna,
& peccans,
Tentandū ergò pro vi-
ribus & communia
facere, &
Philosophiæ se
debere, secundum
rationem tempo-
rum. Sic versat⁹ in Re-
publica Pericles,

ἀκύμονος καὶ γαλη-
νοῦ διατρίβοντας περὶ
φιλοσοφίαν. Τριῶν
γὰρ ὄντων βίων,
ὧν ὁ μὲν ἐστὶ πρακτι-
κὸς, ὁ δὲ θεωρητικὸς,
ὁ δ' ἀπολαυστικὸς,
ὁ μὲν ἔκλυτος καὶ δοῦ-
λος τῶν ἡδονῶν, ζῳ-
ώδης καὶ μικροπρε-
πής ἐστιν, ὁ δὲ θεωρη-
τικὸς τοῦ πρακτικοῦ
διαμαρτάνων, ἀνω-
φελὴς, ὁ δὲ πρακτι-
κὸς ἀμοιρήσας τῆς φι-
λοσοφίας, ἄμουσος
καὶ πλημμελής.
Πειρατέον οὖν εἰς δύ-
ναμιν καὶ τὰ κοινὰ
πράττειν, καὶ τῆς
φιλοσοφίας ἀντι-
λαμβάνεσθαι, κατὰ
τὸ παρῆκον τῶν και-
ρῶν. Οὕτως ἐπολι-
τεύσατο περικλῆς,
οὕτως

ita Dion Syracusanus, si Epaminondas ille Thebanus, quorum uterq; Platonis fuit familiaris. Et de institutione nescio, quod decet plura dicentem conterere. Præter verò dicta utile, imò verò necessum est, neq; veterum scriptorum possessionem negligere, sed & horum facere collectionem secundum agriculturam. Ad eundem n. modum instrumentum institutionis non possessio, sed usus librorum est, & à fonte scientiam custodire contigit. Non igitur dignum neq; corporum certamen aspicere, sed mit-

οὕτως Δίων ὁ Συρακούσιος, οὕτως Ἐπαμινώνδας ὁ Θηβαῖος, ὧν ἑκάτερος Πλάτωνος ἐγένετο συνουσιαστής. καὶ περὶ μὲν παιδείας οὐκ οἶδ᾽ ὅτι δεῖ πλείονα λέγοντα διατρίβειν. πρὸς δὲ τοῖς εἰρημένοις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι, μηδὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν, ἀλλὰ καὶ τούτων ποιεῖσθαι συλλογὴν κατὰ τὸ γεωργῶδες. Τὸν αὐτὸν γὰρ τρόπον ὄργανον τῆς παιδείας οὐ κτῆσις, ἀλλ᾽ ἡ χρῆσις τῶν βιβλίων ἐστί. καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην τηρεῖν συμβέβηκεν. Οὐ τοίνυν ἄξιον, οὐδὲ τὴν τῶν σωμάτων ἀγωνίαν παρορᾶν, ἀλλὰ πέμπον-

tentes præceptori liberos legitimè hæc efficere, simul quidem corporum concinnitatis gratiâ, simul verò & ad robur, Bonæ n. senectutis fundamentum in pueris corporum bonus habitus. Sicut ergo in serenitate ad hyemẽ (necessaria) decet præparare, sic in juventute bonũ ordinem & temperantiam viaticum ad senectutem deponere. Sic decet condire corporis laborem, ut non aridos fientes ad institutionis curam deficere: Secundum enim Platonem, somni & defatigationes disciplinis hostes. Et quid hęc? Sed quod omnium est prę-

ποντας ἐς παιδοτρίβους τοὺς παῖδας, ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τῶν σωμάτων εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην, Καλοῦ γὰρ γήρως θεμέλιον ἐν παισὶν ἡ τῶν σωμάτων εὐεξία. Καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκει παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι. οὕτω δεῖ ταμιεύεσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γινομένους πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν: Κατὰ γὰρ Πλάτωνα, ὕπνοι καὶ κόποι μαθήμασι πολέμιοι. Καὶ τί ταῦτα; ἀλλ' ὃ πάντων ἐστὶ κυ-

stantissimum dictorũ. festino dicere. Ad enim militaria certamina pueri exercẽdi sunt, in jaculationibus ipsos certantes & in arcub⁹, & venationib⁹. Etenim victorum in pugnis bona vincentibus præmia proposita sunt. Bellum verò in umbrâ educatum corporum habitũ nõ recipit. Humilis verò miles bellicis certaminib. assuet⁹ athletarum & hostium phalangas dejicit. Quid igitur, quis diceret? tu verò de ingenuorum puerorum institutione promittens Exempla daturũ esse, postea appares quidẽ pauperum & popularum negligens institutionem solis verò

κώτατον τῶν εἰρημένων, σπεύδω λέγειν. πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταβάλλοντας, ἐν τοξίαις, καὶ θήραις. τὰ γὰρ τῶν ἡττωμένων ἐν ταῖς μάχαις ἀγαθὰ τοῖς νικῶσιν ἆθλα πρόκειται. πόλεμος δ' ἐσκιατραφημένην σωμάτων ἕξιν οὐ δέχεται. ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθὰς, ἀθλητῶν καὶ πολεμίων φάλαγγας διωθεῖ. τί οὖν, ἄν τις εἴποι; σὺ δὲ δὴ τῆς περὶ τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑπισχνόμενος παραδείγματα δώσειν, ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς

πλου-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0166-1

divitibus concordes institutiones dare, erga quos non difficile occurrere. Ego enim maximè vellem omnibus in commune utilē esse institutionem: Si verò quidam indigè in propriis facientes impossibiles sunt meis uti præceptis, fortunam accusent, non hæc consulentem. Tentandum quidē igitur pro viribus optimam institutionem facere puerorum etiam pauperibus, si verò non, possibili, utendum est. Et hæc quidem oratione attuli, ut deinceps & alia ferentia ad rectam juvenum institutionem conjungam.

πλουσίοις ὁμονοεῖς ὑποθήκας διδόναι. πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι. ἐγὼ γὰρ μάλιστ' ἂν βουλοίμην πᾶσι κοινῇ χρήσιμον εἶναι τὴν ἀγωγήν: εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρήσασθαι παραγγέλμασι, τὴν τύχην αἰτιάσθωσαν οὐ τὸν ταῦτα συμβουλεύοντα. πειρατέον μὲν οὖν εἰς δύναμιν τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων καὶ τοῖς πένησιν, εἰ δὲ μή, τῇ γε δυνατῇ, χρηστέον. καὶ ταῦτα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην. ἵν' ἐφεξῆς καὶ τἄλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω.

Et hoc dico, decere pueros ad honesta studiorum adducere adhortationib. & orationibꝰ, nō per Iovē plagis, neq; contumeliis. Videntur enim hæc servis magis, quàm liberis convenire. Obdurescunt enim, & abhorrent à laboribus, partim quidem ob dolores plagarum, partim v. etiā propter cōtumelias Laudes v. & vituperationes omni sunt verberatione utiliores liberis: Illæ quidem ad honesta commendantes, hæ verò à turpibus arcentes. Decet verò invicem & variè uti reprehensionibus, & laudibus. Et postquam

κἀκεῖνό φημι. Δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσεσι, καὶ λόγοις, μὴ μὰ Δία πληγαῖς, μηδ᾽ αἰκισμοῖς. δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν. Ἀποναρκῶσι γὰρ, καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. Ἔπαινοι δὲ, καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις: οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δ᾽ ἀπὸ τῶν αἰσχρῶν ἀπείργοντες. Δεῖ δ᾽ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι, καὶ τοῖς ἐπαίνοις. Κἀπειδάν

ποτε

aliquando gaudeant reprehensionibus pudefacere, & rursus advocare laudibus, & imitari nutrices, quæ postquam pueros adflendũ incitârunt, ad consolationem iterũ mammam præbent. Decet verò ipsos neq; laudibus extollere, & inflare. Insolescunt enim superabũdantiis laudum, & deliciantur. Iam verò quosdam ego vidi Patres quibus nimium amare non amandi causa fuit. Quid igitur est, quod volo dicere, ut exemplo clariorem faciam orationem? Festinãtes enim pueros in omnib⁹ celeri⁹ primatũ tenere,

ποτὲ δὲ φρενῶν) ταῖς ἐπιπλήξεσιν ἐν αἰσχύνῃ ποιεῖσθαι. Καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις. καὶ μιμεῖσθαι τὰς τίτθας, αἵτινες, ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. Δεῖ δ᾽ αὐτοὺς μήδε τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν: χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων, καὶ θρύπτονται. Ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. τί οὖν ἐστιν, ὃ βούλομαι λέγειν, ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω τὸν λόγον; σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχα πρωτεῦσαι, πό-

labores ipsis immensos imponunt, quibus deficientes incidunt, & alioqui gravati ærumnis non accipiunt doctrinam obedienter. Sicut enim plantæ quidem mediocribus aquis nutriuntur, plurimis verò suffocantur: Ad eundem modum anima quidem mediocribus augetur laboribus. Sed immoderatis submergitur. Danda ergò puero recreatio à continentib. laboribꝰ considerãdo, quod omnis vita nostra in requiem & diligentiam dividatur. Et propterea non solùm vigilantia, sed & somnus inventus est: neq; bellum, sed & pax: neq; hyems,

πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐμπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν μάθησιν εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται: τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται. καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη, οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη, οὐδὲ χειμών, ἀλλὰ

sed & bona tempestas; neq; serię operationes, sed & feriæ. Comprehendenti v. dicere, requies laborum condimentum est, neq; in animalibus solis hoc viderit quis fieri, sed & in inanimatis: Etenim arcus & lyras remittimus, ut intendere possimus. In universum v. servatur corpus quidem indigentia & impletione, anima v. remissione & labore. Dignum v. reprehendere Patrum quosdam, qui pædagogis & præceptoribus committentes filios, ipsi eorum doctrinę neq; spectatores fiunt omninò, neq; auditores plurimum à justo aberrantes. Ipsos enim

ἀλλὰ καὶ εὐδία, οὐδὲ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι, καὶ οὐκ ἐπὶ τῶν ζώων μόνον τοῦτο ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων; καὶ γὰρ τὰ τόξα, καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. Καθόλου δὲ σώζεται σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ ὀνέσει καὶ πόνῳ. Ἄξιον δὲ ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς, αὐτοὶ τῶν τούτων μαθήσεως οὔτ' αὐτόπται γίνονται τὸ παράπαν, οὔτ' αὐτήκοοι πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες, αὐτοὺς γὰρ

post paucos dies decet exploratione͂ sumere puerorum sed non spem habere in mercenatii dispositione. Etenim illi majorem habent curam puerorum volentes undiq; dare pœnas: & huc sanè dictum ab Equisone elegans, quod nihil ita pingue facit equum ac regis oculus. Omniū vero maximè memoriam puerorum exercere & assuefacere, Ea enim tanquā institutionis est prōptuariū. Et propterea matrem musarum fabulati sunt esse memoriam, innuentes & manifestantes, ita nihil gignere, & a-

παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει. καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας: κἀν ταῦτα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χάριεν, ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον, ὡς βασιλέως ὀφθαλμός. Πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν. αὐτὴ γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμεῖον. Καὶ διὰ τοῦτο μητέρα τῶν μουσῶν ἐμυθολόγησαν εἶναι τὴν μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες, οὕτως οὐδὲν γεννᾶν καὶ τρέφειν

lere, ut memoria solet. Et ideo hæc secundū utrunq; exercenda, sive ex natura memores sint pueri, sive etiam contrà obliviosi. Etenim copiam naturæ confirmabim⁹; defectum verò replebimus. Et illi quidē aliis erunt meliores, hi verò sibi ipsis. Hesiodeum enim bene dictum: Si enim & parvum ad parvum apposueris, & sæpè hoc feceris, celeriter magnum fiet. Non lateat igitur neque hoc Patres, quod memorativa doctrinæ pars nō solum erga institutionem, sed etiam erga vitæ operationes

φειν, ὡς ἡ μνήμη πέφυκε. καὶ τοίνυν ταῦτα κατ' ἀμφότερα ἀσκητέον, εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τἀναντίον ἐπιλήσμονες. τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιῤῥώσομεν; τὴν δ' ἔλλειψιν ἀναπληρώσομεν. καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίους, οἱ δ' ἑαυτῶν, τὸ γὰρ Ἡσιόδειον καλῶς εἴρηται: εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο. μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος, οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις

non minimam adjicit partem. Nam factorum operum memoria de futuris boni consilii fit exemplum. Et quidem sané etiam â turpiloquentia arcendi pueri. Oratio enim operis umbra secundum Democritum. Insuper quidem affabiles ipsos esse præparandum est, & comes. Nihil enim ut difficiles morum ita dignum odio. Insuper igitur pueri non odiosi fuerint sanè familiaribus, non omninó in quæstionibus invincibiles existẽtes. Non enim vincere solùm, sed etiam vinci scire pulchrum, in quibus,

οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη, τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα. καὶ μὲν δὴ καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς υἱεῖς. λόγος γὰρ ἔργου σκιὴ κατὰ Δημόκριτον. εἶτά γε μὴν ἐντευκτικοὺς αὐτοὺς εἶναι παρασκευαστέον, καὶ φιλοπροσηγόρους. οὐδὲν γὰρ ὡς τὰ ἀνέντευκτα τῶν ἠθῶν ἐστιν ἀξιομίσητον. ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίγνοιντ' ἂν τοῖς συνοῦσι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀμαραχώρητοι γιγνόμενοι. οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν, ἐν οἷς τὸ

vincere perniciosum. Est enim verè etiam victoria Cadmæa. Habeo verò testem horum Euripidem sapientem adducere dicentem: Duobus dicentibus altero irato, non repugnans sermonibus sapientior. Quæ igitur dictorum nihil minus sunt, verùm etiã magis exercenda juvenibus, etiam dicendum. Hæc verò sunt: Vitam sine luxu exercere, linguam tenere, ira superiorem existere, manibus imperare, horũ quodlibet quantũ est, considerandum. Erunt enim Exemplis clariora, sicuti, ut à fine primum

τὸν νικᾶν βλαβερόν. ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη καδμεία. ἔχω δὲ μάρτυρα τούτων Εὐριπίδην τὸν σοφὸν ἀναγάγεσθαι λέγοντα: Δυοῖν λεγόντοιν θατέρου θυμουμένου, μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Ἃ τοίνυν τῶν εἰρημένων οὐδενὸς ἧττόν ἐστιν, ἀλλὰ καὶ μᾶλλον ἐπιτηδευτέα τοῖς νέοις, καὶ δὴ λεκτέον. ταῦτα δέ ἐστι: τὸν βίον ἀτρύφητον ἀσκεῖν, τὸ τὴν γλῶτταν κατέχειν, τὸ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι, τὸ τῶν χειρῶν κρατεῖν, τούτων ἕκαστον, ἡλίκον ἐστί, σκεπτέον. Ἔσται γὰρ ἐπὶ παραδειγμάτων γνωριμώτερα, οἷον, ἵνα ἀπὸ τοῦ τελευταίου πρῶτον

ἄρ-

incipiam, manus quidam admoventes captionibus injustis gloriam prioris vitæ effuderunt, sicut Gylippus ille Lacedæmonius saccos pecuniarum dissolvens, fugiens expulsus est Sparta. Equidem non iracundum Viri est Sapientis. Socrates quidem enim calcitrante ipsum juvene audaci valdè & execrabili circa eum (existentes) videns inindignãtes, & ægrè ferentes, ut & persequi ipsum vellent; Sanè inquit, & si me asinꝰ calcitret, recalcitrare ipsum velletis sanè, nõ v. ille omninò tulit impunè. Omnibus verò ipsum calumniãtibꝰ & calcitronẽ vocantibꝰ,

ἄρξομαι, τὰς χεῖράς τινες ὑποσχόντες λήμμασιν ἀδίκοις, τὴν δόξαν τῶν προβεβιωμένων ἐξέχεαν, ὡς Γύλιππος ὁ Λακεδαιμόνιος τὰ σακκία τῶν χρημάτων παραλύσας, φυγὰς ἀπηλάθη τῆς Σπάρτης. τόγε μὴν ἀόργητον ἀνδρὸς ἐστὶ σοφοῦ. Σωκράτης μὲν γὰρ λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας, καὶ σφαδάζοντας, ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν; ἆρ' ἔφησε, καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτο ἀξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός γε παντελῶς κατεπράξατο. πάντων δὲ αὐτὸν ὀνειδιζόντων, καὶ λακτιστὴν ἀποκαλούντων

ſtrangulatꝰ eſt. Ariſtophanes v. quãdo nubes extulit omninò omnem cõtumeliam diſpergente, & quodam præſentium talia in comœdia recitãte, nõ ægrè fers? dicente, ô Socrates, per Iovem, non Ego, dixit: tanquam n. in cõvivio magno in theatro illudor. Germana his, & conjuncta videbuntur facientes, Archytas ille Tarẽtinꝰ & Plato. Hic quidem enim adveniens ex bello (exercitũ ducens autem erat) terram aſſumens vaſtatam, procuratorẽ vocans ejus: Plorares ſanè dixit, ſi non valdè iraſcerer, Plato verò ſervo guloſo & exe-

ἀπήγξατο. Ἀριστοφάνους δ' ὅτε τὰς νεφέλας ἐξέφερε παντίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδάννυντος, καί τινος τῶν παρόντων τὰ τοιαῦτα ἀνακωμωδοῦντος οὐκ ἀγανακτεῖς; εἰπόντος, ὦ Σώκρατες, μὰ δί', οὐκ ἔγωγ' ἔφησεν: ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ, τῷ θεάτρῳ σκώπτομαι. Ἀδελφὰ τούτοις, καὶ σύζυγα φανήσονται πεποιηκότες, Ἀρχύτας ὁ Ταραντῖνος καὶ Πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου (στρατηγῶν δ' ἐτύγχανε) γῆν καταλαβὼν κεχερσομένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς: ᾤμωξας ἂν, ἔφησεν, εἰ μὴ λίαν ὠργιζόμην. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυ-

crando iratus, ſororis filium Speuſippum vocans: Hunc, dixit, abiens percute, Ego enim omnino iraſcor. Difficilia verò hæc, & inimitabilia, diceret quis; ſcio & ego Tentandum igitur quantum poſſibile eſt, his exemplis utentibꝰ multitudinem intemperantis & inſanientis auferre iræ. Neq; enim ad alia ſimiles illorum ſumus, neq; experientiis neq; honeſtatibus. Sed nihil minus illis tanquam Deorum ſacerdotes, & facigeri Sapientię exiſtẽtes quã tum fieri poteſt hæc imitari, & ſectari ſuſcipimus. Igitur linguam tenere (de hoc

λυρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας: τοῦτον, ἔφησεν, ἀπελθὼν κρότησον, ἐγὼ γὰρ πάνυ θυμοῦμαι. χαλεπὰ δὲ ταῦτα, καὶ δυσμίμητα, φαίη τις ἄν. οἶδα κἀγώ. πειρατέον οὖν εἰς ὅσον οἷόν τ' ἐστὶ, τούτοις παραδείγμασι χρωμένους τὸ πολὺ τῆς ἀκράτου καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς. οὐδὲ γὰρ ἐς τ' ἄλλα ἐνάμιλλοι τῶν ἐκείνων ἐσμὲν, οὔτ' ἐμπειρίαις, οὔτε καλοκαγαθίαις. ἀλλ' οὐδὲν ἧττον ἐκείνων, ὥσπερ θεῶν ἱεροφάνται, καὶ δαδοῦχοι τῆς σοφίας ὄντες, ὅσαπερ ἐστὶν ἐν δυνατῷ ταῦτα μιμεῖσθαι, καὶ παρεικονίζειν ἐπιχειροῦμεν. τὸ τοίνυν τῆς γλώττης κρατεῖν, (περὶ τούτου

enim, ut proposui, dicere reliquum) si quis parvum & malum putavit, plurimum peccat ab officio. Sapiens n. tempestivum silentium, & omni oratione melius, & propterea mihi videtur mysticas ferias veteres demonstrarunt, ut in his tacere assuefacti ad humanorum mysteriorum fidem à Diis transferamus metum. Etenim tacens quidem nemo pœnitentiam egit, loquentes quamplurimi, & quidem tacitum loqui facilè, dictum verò recipere impossibile. Infinitos verò ego scio audiens maximas calamitates incidisse propter linguæ incontinentiam,

γὰρ, ὥσπερ ὑπεθέμην, εἰπεῖν λοιπὸν) εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε πλεῖστον διαμαρτάνει τοῦ δέοντος. σοφὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγου κρείττων, καὶ διὰ τοῦτό μοι δοκεῖ τὰς μυστηριώδεις τελετὰς οἱ παλαιοὶ κατέδειξαν, ἵν' ἐν ταύταις σιωπᾶν ἐθισθέντες, ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν τὸν ἀπὸ τῶν θεῶν μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες παμπληθεῖς, καὶ τὸ μὲν σιγηθὲν, ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον. μυρίους δ' ἔγωγ' οἶδα ἀκούσας ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας διὰ τὴν τῆς γλώττης ἀκρασίαν,

quorum alios relinquens unius aut duorũ speciei gratia recordabor. Nam Philadelpha ducẽte uxorẽ sororem Arsinoen, Sotades dicens, in non sanctum foramen aculeũ impellis, in carcere multo contabuit tempore, & intempestivæ locutionis non indignã dedit pœnã. Vt verò risum moveret aliis, ipse multum tempus ploravit. Similia verò his, & cõjuncta etiam Theocrit⁹ ille Sophista dixitq; & passus est, & multò graviora. Alexandro enim Purpuræ vestes jubente præparare Græcos, ut rediens epulas victorales belli

ὧν τοὺς ἄλλους παραλιπὼν, ἑνὸς ἢ δυοῖν, τύπου ἕνεκεν ἐμιμνησθήσομαι. τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, Σωτάδης εἰπὼν, εἰς οὐχ ὁσίην τρυμαλίαν τὸ κέντρον ὠθεῖς, ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους, καὶ τῆς ἀκαίρου λαλίας οὐ μεμπτὴν ἔδωκε δίκην. ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσεν. ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα καὶ Θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ ἔπαθε, καὶ πολὺ δεινότερα. Ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατασκευάζειν τοὺς Ἕλληνας, ἵν' ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου

contra barbaros sacrificaret, & gentib' secundũ caput afferentib' argentum, primum quidem; dixit, dubitabam, nunc verò sentio perspicuè, quod purpurea Homeri mors hæc est. Ex quibus inimicum possedit Alexandrum. Antigonum verò Regem Macedonum unoculum existentem, cœcitatem proferens, in nõ mediocrem iram constituit. Nam principem coquorum Eutropionem existentem in ordine, emittens adesse apud ipsum voluit, & rationem dare & accipere. Hæc verò annun-

του κατὰ τῶν βαρβάρων θύσειε, καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων ἄργυρον, πρότερον μὲν; ἔφησεν, ἠμφισβήτουν, νῦν δ' ᾔσθημαι σαφῶς, ὅτι ὁ πορφύρεος Ὁμήρου θάνατος οὗτός ἐστιν. ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν μακεδόνων ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέρων, εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. Τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει, ἐκπέμψας προσαγγέλλεσθαι πρὸς αὐτὸν ἠξίου, καὶ λόγον δοῦναι καὶ λαβεῖν. ταῦτα δ' ἀπαγ-

ciante illo erga ipsum, & sæpè accedente: Benè scio, inquit, quòd crudũ me vis cyclopi apponere, exprobrans illi quidem, quòd cœcus, huic verò, quid cocus esset. Et ille: Igitur, dicens, caput non habebis, sed loquacitatis illius & insaniæ dabis pœnam. Annunciavit dicta Regi, & hic quidem mittens occidit Theocritum. Præter omnia verò hæc (quòd est sacrosanctissimum) assuefaciendi sunt pueri vera dicere. Etenim mentiri servile est, & omnib⁹ hominibus odisse

μέλλοντος ἐκείνου πρὸς αὐτὸν, καὶ πολλάκις προσιόντος; εὖ οἶδα, ἔφησεν, ὅτι ὠμόν με θέλεις τῷ κύκλωπι παραθεῖναι, ὀνειδίζων, τῷ μὲν, ὅτι πηρὸς, τῷ δ' ὅτι μάγειρος ἦν. κἀκεῖνος: τοιγαροῦν, εἰπὼν, τὴν κεφαλὴν οὐκ ἕξεις, ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην: ἀπέγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ, καὶ ὁ μὲν πέμψας ἀνεῖλε τὸν θεόκριτον. παρὰ πάντα δὲ ταῦτα (ὅπερ ἐστὶν ἱεροπρεπέστατον) συνεθιστέον τοὺς παῖδας τἀληθῆ λέγειν, τὸ γὰρ ψεύδεσθαι δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις μισεῖσθαι ἄ-

dignũ, & neq; mediocribus servis ignoscendum. Hæc quidem igitur non dubitans neq; cunctatus de puerorum munditie & temperantia disserui: De verò dicendo futuro anceps sum, & dubius, atque huc & illuc inclinans tanquã in libra ad neutrũ inclinare possum. Multa verò cessatio habet me, & aggressionis, & aversionis hujus rei. Audendum igitur tamen dicere id: quid igitur hoc est? Vtrum decet amantes puerorum sinere hisce conversari, & unà conterere, aut contra

ἄξιον, καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν. ταῦτα μὲν οὖν οὐκ ἐνδοιάστως οὐδὲ μελλήσας, περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ σωφροσύνης διείλεγμαι, περὶ δὲ τοῦ ῥηθήσεσθαι μέλλοντος ἀμφίδοξός εἰμι, καὶ διχογνώμων, καὶ τῇ δὲ κἀκεῖσε κλίνων ὡς ἐπὶ πλάστιγγος πρὸς οὐδέτερον ῥέψαι δύναμαι. πολὺς δ᾽ ὄκνος ἔχει με, καὶ τῆς εἰσηγήσεως καὶ τῆς ἀποτροπῆς τοῦ πράγματος. ἀποτολμητέον οὖν ὅμως εἰπεῖν αὐτό. τί οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων ἐᾶν τούτοις συνεῖναι, καὶ συνδιατρίβειν, ἢ τοὐναντίον

pellere ipsos & arcere ab inter eos conversatione decet. Quandoquidem n. respexero erga patres inconsultò judicãtes, & more crudos & rigidos, qui propter liberorum contumeliã nõ tolerabilem arbitrantur amantium cõversationem. Timeo hujus autor fieri, & consiliarius. Quando verò iterum considero Socratem, Platonem, Xenophontẽ, Æschinem, Cebetem, totum cœtum illorum virorum, qui masculos probârunt amores, & pueros adduxerunt & ad institutionem, & popu-

εἴργειν αὐτοὺς καὶ ἀποσοφεῖν τῆς πρὸς τούτους ὁμιλίας προσήκεν. ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας αὐθεκάστους, καὶ τὸν τρόπον ὀμφακίας καὶ στρυφνοὺς, οἱ διὰ τὴν τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν νομίζουσι τὴν τῶν ἐρώντων ὁμιλίαν. εὐλαβοῦμαι ταύτης εἰσηγητὴς γενέσθαι καὶ σύμβουλος. ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Αἰσχίνην, τὸν Κέβητα. τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἱ τοὺς ἄρρενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια προήγαγον ἐπί τε παιδείαν, καὶ δημαγω-

larem ductionem, & virtutem morum iterū alius fio, & flector ad illorum virorū æmulationē. Testatur verò hæc Euripides ita dicens: Sed est quidam alius in mortal. amor, Animæ justæ tempe-rantisq; & honestæ. Illud verò Platonis diligentia & urbanitate commistum, non relinquendum. Licere enim dicit decere principib⁹, quem sanè velint bonorum amare. Igitur pulchritudinē expetentes expellere decet, animæ verô amatores approbare secundū universum, & quidem Thebis

γωγίαν, καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι καὶ κάμπτομαι πρὸς τὸν ἐκείνων τῶν ἀνδρῶν ζῆλον. μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὕτω λέγων: Ἀλλ᾽ ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως, ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς. Τὸ δὲ τοῦ Πλάτωνος σπουδῇ καὶ χαριεντισμῷ μεμιγμένον, οὐ παραλειπτέον. ἐξεῖναι γάρ φησι δεῖν τοῖς ἀριστεύσασιν ὃν ἂν βούλωνται τῶν καλῶν φιλῆσαι. Τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας ἀπελαύνειν προσήκει, τοὺς δὲ τῆς ψηχῆς ἐραστὰς ἐγκρίνειν κατὰ τὸ σύνολον, καὶ ταῖς μὲν Θήβησι

& Helidi fugiendi amores, & ex Creta vocatum raptionem, Athenienſis verò & Lacedæmonios æmulandum & pueris imitandum. De igitur his, quomodo quisque ipſe ſibi perſuadeat, ita arbitretur. Ego vero postquam de puerorum bono ordine dixi, & munditie, & in adoleſcentium ætatem jam transgrediar, pauca omnino dicturus. Sæpè enim vituperavi malorum morum factos autores, qui quidem pueris pædagogos & præceptores cõſtituerunt,

καὶ τοὺς Ἠλίδι φευκτέον ἔρωτας, καὶ τὸν ἐκ Κρήτης καλούμενον ἁρπαγμὸν, τοὺς δὲ Ἀθήναις καὶ τοὺς ἐν λακεδαίμονι ζηλωτέον, καὶ τῶν παίδων μιμητέον. περὶ μὲν οὖν τούτων ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν πέπεικεν, οὕτως ὑπολαμβανέτω. Ἐγὼ δ' ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἤδη μεταβήσομαι, μικρὰ παντάπασιν εἰπών. πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητάς, οἵτινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν,

sed juvenum impetum impunitum siverunt pasci. Decet contra majorem facere eorum curam & custodiam quàm puerorum. Quis enim non novit, quod quidem puerorum delicta parva & omnino sunt sanabilia, pædagogorū fortasse negligentia & magistrorum deductionis inobedientia. Sed jam juvenescentium peccata sæpe immensa fiunt, & improba, immoderatio ventris, furta paternarum pecuniarum, & alea, & cõmessationes & potationes, & virginum amores, & mulierū corruptiones nubentium. Non igitur eorum

τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄνετον εἴασαν νέμεσθαι. Δέον τοὐναντίον πλείω ποιεῖσθαι τούτων εὐλάβειαν καὶ φυλακὴν, ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν, ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα μικρὰ καὶ παντελῶς εἰσιν ἰάσιμα, παιδαγωγῶν ἴσως ὀλιγωρία καὶ διδασκάλων παραγωγῆς ἀνηκουστία. τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα πολλάκις ὑπερφυῆ γίνεται, καὶ σχέτλια, ἀμετρία γαστρὸς, κλοπαὶ πατρῴων χρημάτων καὶ κύβοι, καὶ κῶμοι, καὶ πότοι, καὶ παρθένων ἔρωτες, καὶ γυναικῶν οἰκοφθορίαι γαμετῶν. οὐκ οὖν τὰς τούτων ὁρ-

impetus curis vincere & tenere convenit. Inconclusum enim voluptatum vigor, & saltatorium, & freno indigens, ut non ætatem istam fortiter suscipientes, mente dantes libertatem ad injustitias latent. Decet igitur sapientes Patres circa hoc maximè tempus custodire, vigilare, sapientes reddere, adolescentes, docentes minantes, rogantes, consulentes, promittentes, Exempla monstrantes eorum quidẽ propter

ὁρμὰς ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέχειν προσῆκεν. ἀταμίευτον γὰρ τῶν ἡδονῶν ἡ ἀκμὴ, καὶ σκιρτητικὸν, καὶ χαλινοῦ δεόμενον, ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐῤῥωμένως ἀντιλαμβανόμενοι, τῇ διανοίᾳ διδόντες ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα λανθάνουσι. δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν, ἐγρηγορέναι, σωφρονίζειν, τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύοντας τῶν μὲν διὰ φι-

voluptatem calamita-
tibus incidentium,
per verò tolerantiam
laudem & gloriam bo-
nam comparantium.
Duo enim hæc tan-
quam Elementa
virtutis ſunt, ſpesq;
honoris, & timor pœ-
næ. Hæc enim in-
citatiores ad
optima ſtu-
diorum, hæc verò
ſegniores ad
mala operum
reddit. Et
in univerſum verò pro
hibere decet pueros
erga ma-
los homines fami-
liaritate: Auferunt
enimaliquid horũ ma-
litiæ. Hæc verò an-
nunciavit & Pythago-
ras ænigmatibus, quæ

φιληδονίαν συμφο-
ραῖς περιπεσόντων,
διὰ δὲ καρτερίαν,
ἔπαινον καὶ δόξαν ἀγα-
θὴν περιποιησαμένων.
δύο γὰρ ταῦτα, ὥσ-
περ στοιχεῖα τῆς
ἀρετῆς εἰσιν, ἐλπίς τε
τιμῆς καὶ φόβος τιμω-
ρίας. ἡ μὲν γὰρ ὁρ-
μητικωτέρους πρὸς
τὰ κάλλιστα τῶν ἐπι-
τηδευμάτων, ἡ δ᾽
ὀκνηροὺς πρὸς τὰ
φαῦλα τῶν ἔργων
ἀπεργάζεται. καὶ
καθόλου δ᾽ ἀπείργειν
προσήκει τοὺς παῖδας
τῆς πρὸς τοὺς πονη-
ροὺς ἀνθρώπους συνου-
σίας: ἀποφέρονται
γάρ τι τῆς τούτων κα-
κίας. τοῦτο δὲ πα-
ρήγγελλε καὶ Πυθαγό-
ρας αἰνίγμασιν, ἅπερ

ego apponens explicabo (etenim hæc ad virtutis possessionem adjicit impetum non minimum) quale, non gustare nigram caudā, hoc est, non una conversari nigris hominibus, ob malitiam. Neq; jugum transgredi, quòd decet justitiæ plurimam habere rationem, & non hanc excedere. Neq; in Chænicem insidere, fugere ignaviam, & prævidere, quomodo necessariam præparemus nutritionem. Non cuivis injicere dextram, pro temere non decet commutare. Non ferre angustū annulum, quod decet vitam exerce-

ἐγὼ παραθεὶς ἐξηγήσομαι (καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην) οἷον, μὴ γεύεσθαι μελανούρων, τοῦτ' ἔστι. μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις, διὰ κακοήθειαν. μηδὲ ζυγὸν ὑπερβαίνειν, ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον, καὶ μὴ ταύτην ὑπερβαίνειν. μηδὲ ἐπὶ χοίνικα καθίσαι, φεύγειν ἀργίαν, καὶ προνοεῖν, ὅπως τὴν ἀναγκαίαν παρασκευάσωμεν τροφήν. Μὴ παντὶ ἐμβάλλειν δεξιὰν ἀντὶ τοῦ προχείρως οὐ δεῖ συναλλάσσειν. μὴ φορεῖν στενὸν δακτύλιον, ὅτι δεῖ τὸν βίον ἐπιτηδεύ-

ειν,

re, & non decere vinculo affigere ipsum. Ignem ferro non scrutari: pro illo non irritare iratum, (non enim decet) sed cedere iratis. Non edere cor, non lædere animam curis ipsam supprimentem. Fabis abstinere, quod non decet administrare Remp. Fabis collectæ enim erant antea suffragia, per quæ terminum proposuerunt imperitiis. Cibum in matulam nō injicere, demonstrat enim, quod in malam animā civilem orationem injicere non decet, Etenim oratio victus mentis est.

εῖν, καὶ μὴ δεῖν δεσμῷ προσάπτειν αὐτόν. Πῦρ σιδήρῳ μὴ σκαλεύειν: ἀντὶ τοῦ μὴ ἐρεθίζειν θυμούμενον, (οὐ γὰρ προσῆκεν) ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. μὴ ἐσθίειν καρδίαν, μὴ βλάπτειν τὴν ψυχὴν ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. Κυάμων ἀπέχεσθαι, ὅτι οὐ δεῖ πολιτεύεσθαι. κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς. Σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν, ἐπισημαίνει γὰρ ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσῆκεν. ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί.

τοῦ

Hunc verò impurum malitia facit hominum. Non reverti ad terminos venientes, hoc est, futuros mori, & finem vitæ propriæ existentem videntes ferre facilè, & non tristari. Reflectam verò ad à principio orationis propositionem, Ab omnib⁹ quidem (quòd dixi) malis hominibus abducere decet pueros, maximè verò ab adulatoribus. Quod enim sæpè & ad multos patrum perficiens dico, & nunc sanè dico, genus nullum est pestilentius neq; magis & citius præci-

τοῦτον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας, τοῦτ' ἔστι, μέλλοντας ἀποθνήσκειν, καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως, καὶ μὴ ἀθυμεῖν. ἀνακάμψω δ' ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν. Ἁπάντων μὲν γὰρ (ὥσπερ ἔφην) τῶν πονηρῶν ἀνθρώπων ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶν λέγων, καὶ νῦν ἂν εἴποιμι, γένος οὐδέν ἐστιν ἐξωλέστερον, οὐδὲ μᾶλλον, καὶ θᾶττον ἐκτραχη-

pitat juventutem, ut assentatorum, qui & Patres & filios radicitus eximunt illorum quidem senectutem tristem, horũ verò juventutem facientes, verum consiliorum escam incautam protendentes voluptatem. Pueros divites patres vigilare adhortantur, hi verò inebriari temperantes esse, hi v. petulantes esse, custodire, hi v. sumptũ facere, libenter operari, hi v. segnes esse, Punctum temporis omnis vita est (dicentes) vivere, & nõ secus vivere decet, Quid verò curandum nobis Patris minas?

χηλίζον τὴν νεότητα, ὡς τῶν κολάκων, οἳ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. τοῖς παισὶ τοῖς πλουσίοις οἱ πατέρες νήφειν παραινοῦσιν, οἱ δὲ μεθύειν, σωφρονεῖν, οἱ δ' ἀσελγαίνειν, φυλάττειν, οἱ δὲ δαπανᾶν, φιλεργεῖν, οἱ δὲ ῥαθυμεῖν. Στιγμὴ χρόνου πᾶς ὁ βίος ἐστὶ (λέγοντες) ζῆν καὶ οὐ παραζῆν προσήκει. τί δὲ φροντιστέον ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν;

delirans & sepulchri larva est, & sublimem ipsum tollentes celerrimè efferemus. Apposuit v. quis & meretricem, & prostituit nuptum & patrum viatica senis devastavit & assumpsit. scelestum genus, hypocritæ amicitiæ jejuni libertatis. Divitum quidem assentatores, pauperum verò despectores, tanquam ex lyrica arte ad juvenes acti aperientes, quòd nutrientes rideant, & anima subdititia & spuria membra vitæ. Ad verò divrum nutum viventes fortuna quidem

Κρονόληρος καὶ σοροδαίμων ἐστί, καὶ μετέωρον αὐτὸν ἀράμενοι τὴν ταχίστην ἐξοίσομεν. Καθῆκε δέ τις καὶ χαμαιτύπην, καὶ περιηγώγησε γαμετὴν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως περιέκοψε καὶ σεσύληκε. μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας ἄγευστοι παῤῥησίας. πλουσίων μὲν κόλακες, πενήτων δ᾽ ὑπερόπται, ὡς ἐκ λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι σεσηρότες, ὅθ᾽ οἱ τρέφοντες γελῶσι, καὶ ψυχῆς ὑποβολιμαῖα, καὶ νόθα μέρη βίου. πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες τῇ τύχῃ μὲν ἐλεύ-

liberi, decreto verò servi. Quando v. non afficiuntur injuria tunc affici contumelia se putantes, quod non frustra alantur. Quare si cui curæ est patrum puerorum educatio, expellenda scelesta illa peccata. Expellendæ vero etiam condiscipulorum pravitates. Etenim hi mansuetissimas naturas idonei corrumpere sunt. Hæc quidem ergo bona & conducentia: Quæ v. futurus sum dicere humana. Non enim iterum Patres ego volo summè duros & asperos esse naturam, sed sæpè

ἐλεύθεροι, τῇ προαιρέσει δὲ δοῦλοι. ὅταν δὲ μὴ ὑβρίζωνται τότε ὑβρίζεσθαι δοκοῦντες, ὅτι μὴ μάτην περιτρέφονται. ὥστε εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων διαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. Ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί. ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα: ἃ δὲ μέλλω λέγειν ἀνθρώπινα. οὐ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως σκληροὺς καὶ τραχεῖς εἶναι τὴν φύσιν, ἀλλὰ πολλαχοῦ

καὶ

etiam concedere quædam juniori peccatorum, & seipsos commonefacere, quòd fuerint juvenes. Et sicut medici amara medicamentorum dulcibus succis miscentes, delectationem ad conducibilem transitũ invenerunt, sic decet Patres reprehensionum severitatem mansuetudine miscere, & tunc quidem cupiditatibus filiorum remittere & laxare frena, tunc rursus intendere, & maximè quidem moderatè ferre peccata. Si verò minus iratos celeriter defer-

καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν. ὅτι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες, τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον; οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν τῇ πραότητι μιγνύναι, καὶ τότε μὲν ταῖς ἐπιθυμίαις τῶν παίδων ἀφιέναι καὶ χαλάσαι τὰς ἡνίας, τότε δ' αὖ πάλιν ἀντιτεῖναι, καὶ μάλιστα μὲν εὐκόλως φέρειν τὰς ἁμαρτίας. εἰ δὲ μήγε προσοργισθέντας ταχέως ἀπο-

φλε-

vescere. Magis n. subitò irascentē esse decet Patrem quam graviter irascentem, ut illud grave & irrecōciliabile odij adversus liberos non exiguū signum est. Pulchrum verò, nōnulla peccatorum neq; nosse videri, sed senectutis cæcutiētem visum, & audiendi difficultatē ad fientia transferre, ut nonnulla factorum videntes non videre, & non audire audientes. Amicorum peccata ferimus, quid mirum, si liberorum? servorū sæpè crapulantium ebrietatē non reprehendim⁹, parc⁹ fuisti aliquādo, etiam sup-

φλεγμῆναι. μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα, ἢ βαρύθυμον ὡς τό γε δυσμενὲς, καὶ δυσκατάλλακτον, μισοτεκνίας οὐ μικρὸν τεκμήριόν ἐστι. Καλὸν δὲ ἔνια ἁμαρτημάτων μηδὲ εἰδέναι δοκεῖν, ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυωπὸν καὶ δύσκωφον ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν, καὶ μὴ ἀκούειν ἀκούοντας. φίλων ἁμαρτήματα φέρομεν, τί θαυμαστὸν εἰ τέκνων; δούλων πολλάκις κραιπαλώντων μέθην οὐκ ἐξηλέγξαμεν, ἐφείσω ποτὲ, ἀλλὰ καὶ χορή-

pedita. Iratus fuiſti aliquandò, ſed & ignoſces: circumvenit aliquãdo per ſervũ, iram cohibe: Ex agro aliquando jugum abſtulit, venit aliquando heſternã crapulam ſpirans, ignorato unguenta olens taceto. Sic laſciviens juventus domatur. Tentandum verò voluptatibꝰ inferiores, & ad objurgationes inobedientes matrimonio ſubjugare, Vinculum enim hoc juventutis tutiſſimũ. Deſpondere autẽ oportet filiis uxores neq; nobiliores multò, neq; ditiores. Illud enim juxta teipſum ſume

ρήγησον. ἠγανακτήσας ποτὲ ἀλλὰ καὶ σύγγνωθι, ἐξεκόλισέ ποτε δι᾽ οἰκέτου, τὴν ὀργὴν κάτεχε: ἐξ ἀγροῦ ποτε ζεῦγος ἀφείλετο, ἦλθέ ποτε χθιζῆς μέθης ἀποπνέων, ἀγνόησον μύρων ἀπόζων σίγησον. οὕτω σκιρτῶσα νεότης πωλοδαμνεῖται. Πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτιμήσεις δυσηκόους, γάμῳ καταζεῦξαι. δεσμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱοῖς γυναῖκας μήτ᾽ εὐγενεστέρας πολλῷ, μήτε πλουσιωτέρας. Τὸ γὰρ τὴν κατὰ σαυτὸν ἐλᾶν

σο-

ſapiens. Quemadmodum longè meliotes ſeipſis ducentes, non uxorum viri, dotum verô ſervi latent facti. Pauca verò addens his circumſcribam pręcepta. Ante omnia n. oportet patres nihil peccando, ſed omnia, quæ decet, faciendo, illuſtre ſemetipſos exemplum liberis præbere, ut in hornm vitam veluti ſpeculum intuentes, avertantur à turpibus factis & dictis. Sicut, qui peccantes filios punientes iiſdem

σοφόν. ὡς οἵγε μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες, οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γινόμενοι. Βραχέα δὲ προσθεὶς αὐτοῖς περιγράψω τὰς ὑποθήκας. πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα, ἃ δεῖ, πράττειν ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. ὡς οἵτινες τοῖς ἁμαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες τοῖς αὐτοῖς ἁ-

peccatis incidunt, sub illorum nomine latent sui ipsorum accusatores fientes. Sed omninò malè viventes neque servos libertatem ducunt punire, ne dum filios: sine verò his existerent ipsis flagitiorum consiliarij & doctores. Vbicunq; enim senes sunt inverecundi, ibidem necesse & juvenes impudentissimos esse. Tentandum igitur ad liberorum frugalitatem omnia quęcunq; conferunt instituere, æmulantes Euridicen quæ Illyrica existens,

ἁμαρτήμασι περιπίπτουσι, ἐπὶ τῶν ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι. Οἱ δ' ὅλως φαύλως ζῶντες οὐδὲ τοῖς δούλοις παῤῥησίαν ἄγουσιν ἐπιτιμᾶν, μήτοι γε δὴ τοῖς υἱοῖς. χωρὶς δὲ τούτων γένοιντ' ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι. Ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. Πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν, πάνθ' ὅσα προσήκει ἐπιτηδεύειν, ζηλώσαντας τὴν Εὐρυδίκην, ἥτις Ἰλλυρὶς οὖσα

καὶ

& terbarbara, tamẽ super institutione liberorum serò ætatis tetigit institutionẽ. Sufficienter verò ejus in liberos amorem significat Epigramma, quod apposuit Musis: Euridice Hierapolitana hanc apposuit benè telam Musis animo capiens desiderium. Literas enim monumenta orationum. mater facta liberorũ pubescentiũ allaboravit discere. Hoc quidem igitur omnes prædictas complecti præceptiones precationis fortasse opus est:

καὶ τριβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας. ἱκανῶς δὲ αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει τὸ ἐπίγραμμα, ὅπερ ἂν ἔθηκε μούσαις: Εὐρυδίκη ἱεραπολιῆτις, τόνδ᾽ ἀνέθηκεν. Εὖ ἴσον μούσαις ψυχῇ ἑλοῦσα πόθον. γράμματα γὰρ μνημεῖα λόγων, μήτηρ γεγαῶσα παίδων ἡβώντων ἐξεπόνησε μαθεῖν. τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν παραινέσεις, εὐχῆς ἴσως ἔργον ἐστί:

Sed plures æmulari, & id quidem felicitatis indigens est; & multæ curæ, efficibile verò igitur humanâ natura constat.

FINIS.

τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι, καὶ πολλῆς ἐπιμελείας, ἀνυστὸν δ' ὅσον ἀνθρωπίνη φύσις καθέστηκεν.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0203-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0204-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0205-8

unterer Deckel: Psalm 7:

Vers 7: „Stehe auf, Herr, in Deinem Zorn, erhebe Dich über den Grimm deiner Feinde" ...
Exurge, domine, in ira tuâ et exaltare in finibus inimicorum meorum .....

bis Vers 13: „Will man sich nicht bekehren, so hat er sein Schwert gewetzt, u. seinen Bogen gespannt u. zielet. // Vers 14: Und hat darauf gelegt tötlich Geschoss" ...
Nisi conversi fueritis, gladium suum vibravit: arcum suum tetendit et paravit illum. // Et in eo paravit vasa mortis; ...

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0206-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0207-9

x dn̄e in ira tua: et exal
ibꝫ inimicoꝝ meoꝝ Et ex
deus meus in p̄cepto qd
: et synagoga populorū
te Et ꝑpter hanc in altū
dn̄s iudicat ꝑplōs Iudi
scd'm iusticiā meā: et se
nocenciā meā sup me Cō
nequicia pc̄oꝝ et diriges
tans corda et renes deus.
iutoriū meū a dn̄o: qui
cit rectos corde Deus iu
s fortis et paciens: nūqd
p singulos dies Nisi cō
tius gladiū suū vibrab
tetendit et parauit ill
parauit vasa morti

ALVENSLEBEN
Bb
264

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0208-5

…lschrift . Psalm 5:

(…Du bringest) die Lügner um

…perdes qui loquuntur mendacium

…s 12: Laß dich freuen alle,

… dich trauen, ewiglich

…rühmen, denn du be-

…schirmest sie. ……

…[laet]entur omnes qui sperant

… in eternum exultabunt

…[ha]bitabis in eis. Et……

Bet. unteren Deckel s. dort auf dem Vorsatz

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-664601-p0209-4